24. Ἐνιαυτῷ δὲ ὕστερον, πάλιν εἰς τὴν Ῥώμην ὁ Καῖσαρ τέταρτον ἑαυτῷ πραγματεύεται τὴν ἀρχήν· καὶ πρὸς τὰς Ἱσπανίας ὁρμηθείς, μεγίστην εὗρε παρασκευὴν πολέμου. Πομπήιοι γάρ, οἱ Πομπηίου παῖδες, ὅ τε Γνέος καὶ Σέξτος, πολλῇ στρατιᾷ συμμίξαντες, παρὰ μικρὸν μὲν ἦλθον νίκης, ὥστε, φευγόντων τῶν τοῦ Καίσαρος ὁπλιτῶν, αὐτὸν βουλεύσασθαι περὶ τῆς ἑαυτοῦ σφαγῆς. Οὐ γὰρ ἔφερε μετὰ τοσαύτας νίκας ὑπὸ νέοις γενέσθαι καὶ τῆς ἐκείνων χειρός, ἕκτον καὶ πεντηκοστὸν ἔτος γεγενημένος. Μεταγνοὺς δὲ καὶ ἑαυτὸν ἀναλαβών, κρατεῖ τῶν Πομπηιάδων μάχῃ· καὶ τὸν μὲν πρεσβύτερον ἀνεῖλε, τὸν δὲ ἄλλον εἰς φυγὴν ἔτρεψεν.

25. Οὐδενὸς οὖν τῆς ἐμφυλίου ταραχῆς λειψάνου [περιόντος], πρὸς τὴν Ῥώμην ἧκε μεγαλοφρονῶν, ὡς εἰκός, καὶ πολλὰ παρὰ τὴν ἐκ τοῦ παντὸς χρόνου τῆς πόλεως ἐλευθερίαν διεπράττετο, τὰς μὲν τιμὰς παρὰ τὸ τῷ κοινῷ δοκοῦν διδοὺς ὧν ὁ δῆμος ἦν ποτε κύριος τῇ συγκλήτῳ τε οὐχ ὑφιστάμενος τυράννου τε σαφῶς ἔργα ποιῶν. Ἐκίνησεν οὖν ἐφ᾽ ἑαυτὸν συνωμοσίαν· καὶ συστάντες ἄνδρες ἐκ τῆς συγκλήτου τε καὶ τῶν ἱππέων ἑξήκοντα ἐβουλεύσαντο αὐτῷ φόνον. Ἦσαν δὲ ἡγεμόνες τῆς τῶν ἀνδρῶν ἐκείνων συμμορίας οἵ τε δύο Βροῦτοι, τὴν διαδοχὴν ἔχοντες ἀπὸ τοῦ πρώτου τὴν ὑπατείαν σχόντος Βρούτου μετὰ τοὺς ἑπτὰ βασιλέας, καὶ Κάσιος καὶ Σερβίλιος Κάσκας. Σύγκλητος μὲν οὖν τηνικαῦτα ἦν· ἧκε δὲ ἐπὶ τὸ βουλευτήριον ὁ Καῖσαρ, ἐπελθόντων δὲ ἐκείνων σφάττεται· τρισὶ δὲ καὶ εἴκοσι πληγαῖς τελευτᾷ τὸν βίον.

## ΒΙΒΛΙΟΝ Ζ΄.

1. Ἔνατον οὖν καὶ ἑπτακοσιοστὸν ἔτος ἠνύετο τῇ πόλει μετὰ τὴν Καίσαρος σφαγήν. Ἐμφύλιος δὲ ἐκινεῖτο πόλεμος, τῆς μὲν συγκλήτου

1-2. *τέταρτον* ΑΜΙ : *[ἐπανελθὼν] τέταρτον* Σ : *ἐπανελθὼν τέταρτον* Δ  2. *Ἰσπανίας* Δ : *ἰσπανίας* ΑΜΙ : *Ισπανίας* Σ  4. *Γνέος* Π. Γραπτέον Γναῖος  9. *Πομπηιάδων* Π : *Πομπηϊάδων* διόρθωσις Δ  11. *περιόντος* προςέθηκα Δ κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα : λείπει Π  15. *τῇ συγκλήτῳ* Π : *τῇ συγκλήτω ἐκ τῶν τὴν σύγκλητον* Μ  17. *τῶν ἱππέων* Π : *ἱππέων* Δ  *ἐβουλεύσαντο* ΑΜΣ : *ἐβουλεύσαντο* Ι : *ἐβουλεύσαντο* Δ  19. *Βροῦτοι* Π : *βροῦτοι ἐκ τοῦ βρούτου* Μ  *ἔχοντες* ΣΔ : *ἑκόντες* ΑΜΙ  19-20. *σχόντος* ἔγραψα : *ἔχοντος* Π. Ὁ Sylburg εἶχε προτείνει *ἐσχηκότος* ἢ *σχόντος*  20. *Βρούτου* Π : *βρούτου ἐκ τοῦ βιβούτου τῇ δευτέρᾳ χειρὶ* Α  22. *ἐπελθόντων* Π : *ἀπελθόντων* Μ

24. Ἐν τῇ ψα· *ἀπὸ κτίσεως ῥώμης ἕως τῆς ἰουλίου καίσαρος σφαγῆς ἔτη ψθ* ἐκ τοῦ ψα Μ) ΑΜ : λείπουσι ΙΣΔ  *ἔνατον* ΑΜ : *ἔννατον* ΙΣΔ

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ.Π.Π.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ ἔργον ἐπαινούσης, Ἀντωνίου δέ, ὃς ἦν συνύπατος τῷ Καίσαρι, τοὺς σφαγέας μετιόντος. Ταραττομένης δέ, ὡς εἰκός, τῆς πόλεως, πολλοῖς ἐγχειρῶν ἀτόποις Ἀντώνιος ἐχθρὸς Ῥωμαίων καὶ πολέμιος ἀπεφάνθη δόγματι κοινῷ. Στρατεύουσι τοίνυν ἐπ' αὐτὸν οἵ τε ὕπατοι Πάνσας καὶ Ἱόρτιος, προσετέθη τε αὐτοῖς Ὀκταδιανός, νέος ἔτι γεγονὼς ἐνιαυτοῖς ὀκτωκαίδεκα, ἀδελφιδοῦς τοῦ Καίσαρος καὶ τῆς οὐσίας ἐκ διαθήκης διάδοχος ὤν. Ὃν καὶ ὁμώνυμον ἑαυτῷ τὸ ἑξῆς ἐν τῇ διαθήκῃ γενέσθαι παρεκάλεσεν· ἐπεκλήθη τε ὕστερον Αὔγουστος, καὶ ἐμονάρχησε πρῶτος. Ἀντώνιος μὲν οὖν ἡττηθεὶς ὑπό τε τῶν ὑπάτων καὶ Ὀκταδιανοῦ καταφεύγει πρὸς Λέπιδον. Ἐτύγχανε δὲ ὁ Λέπιδος δικτάτωρι μὲν ὑπουργήσας Καίσαρι κατὰ τὴν ἱππικὴν ἀρχήν, δυνάμεως δὲ ἐξάρχων τότε πολλῆς. Τελευτησάντων δὲ μετὰ τὴν νίκην τῶν ὑπάτων, ἅπας ὑπὸ τὸν Ὀκτάδιον ὁ στρατὸς ἦν.

2. Τότε δὲ Λέπιδος Ἀντωνίῳ πραγματεύεται καταλλαγάς, οἰκείως τε ἔχειν αὐτῷ τὸν Ὀκταδιανὸν ἔπεισεν. Εἶτα ἐξαίφνης ἐπὶ τὴν Ῥώμην ἔφθασεν Ὀκταδιανός, τὴν στρατιὰν πᾶσαν ἄγων, ὡς τῷ Καίσαρι τιμωρήσων. Καὶ λαμβάνει μὲν τὴν ὕπατον ἀρχὴν εἰκοσαετής, φόβῳ τοῦ δήμου διδόντος, τῆς συγκλήτου τε πολλοὺς δημεύσας ὅπλοις ἐκράτει τῶν πραγμάτων. Συμπραττόντων δὲ αὐτῷ Ἀντωνίου καὶ Λεπίδου, τὸν Κικέρωνά τε ἀναιροῦσι καὶ ἑτέρους πολλοὺς τῶν ἐπιφανῶν ἀνδρῶν, οὓς ᾤοντο προστήσεσθαι τῆς πολιτείας.

3. Ἐν τούτοις τῆς Ῥώμης οὔσης, Βροῦτος καὶ Κάσιος, οἱ τὸν Καίσαρα ἀνῃρηκότες, κινοῦσι πόλεμον, πολὺν περὶ τὴν Μακεδονίαν ἀθροίσαντες στρατόν. Καὶ συμμίξαντες ἐν Ἀμφιπόλει τῆς Μακεδονίας Ὀκταδιανῷ καὶ Ἀντωνίῳ· Λέπιδον γὰρ ἔδοξε πρὸς παραφυλακὴν τῆς Ἰταλίας μένειν· νικῶσιν οὐκ ἔξω πληγῆς· Κάσιος γὰρ ἔπεσεν ἐν τῇ μάχῃ. Μετὰ ταῦτα δέ, ἀναιρεθέντος τοῦ Βρούτου . . . . . . .

1. *Ἀντωνίου* ΙΣΔ : ἀντωνίνου ΑΜ    τοὺς Η : τοὺς ἐκ τοῦ τοῦς τῇ δευτέρᾳ χειρὶ Α    4-5. *Πάνσας* ΣΔ : πάντες ΑΜΙ    5. *Ἱόρτιος* Η : Ἴρτιος διώρθωσε Δ

6. *ἐνιαυτοῖς* Η : ἐνιαυτοὺς Ι    8. *τε* Η : *δὲ* Δ    11. *δικτάτωρι* ΣΔ : δικτάτορι ΑΜΙ    13. *Ὀκτάβιον* ΑΜΙ : *Ὀκταβιανὸν* ΣΔ    14. *καταλλαγὰς* Η : καταλαγὰς Μ    *οἰκείως* Η : οἰκείως ἐκ τοῦ οἰκοίως Μ    15. *ἐξαίφνης* Η : ἐξέφνης Μ

16. *Ὀκταβιανὸς* Δ ὀκταβιανὸς Μ    *στρατιὰν* Η : στρατιᾶν Μ    20. *Κικέρωνά τε* ΙΔ : *Κικέρωνα τὲ* Η    21. *προστήσεσθαι* ΙΜΔ : τὸ αὐτὸ προέτεινε Sylburg : προστήσασθαι ΑΣ    22. *Κάσιος* Η : κάσιος ἐκ τοῦ κάσιον τῇ πρώτῃ χειρὶ Α

25. *παραφυλακὴν* ΙΣΔ : *παράφυλακὴν* ΑΜ    27. Τὸ ὑπόλοιπον τῆς παραγράφου μετὰ τὴν λέξιν *Βρούτου* λείπει Η : ἀνεπλήρωσεν ἐξ ἰδίας μεταφράσεως Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ. Δ/της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

4. Μετὰ τοῦτο Πομπήιος, ὁ Πομπηίου παῖς, περὶ τὴν Σικελίαν συνεκρότησε πόλεμον, τό τε ὑπολειφθὲν τῆς μετὰ Βρούτου στρατιᾶς ἀγείρας καὶ ἑτέραν ἀξιόμαχον δύναμιν. Ἐλθὼν δὲ εἰς χεῖρας Αὐγούστῳ τε καὶ Ἀντωνίῳ, μετὰ πολὺν φόνον ἐπὶ σπονδαῖς ἀνεχώρησεν.

5. Ἐπὶ δὲ τοὺς αὐτοὺς χρόνους Ἀγρίππας ἐν Ἀκυτανίᾳ πολλὰ κατώρθωσε καὶ μεγάλα. Καὶ Βεντίδιος Βάσσος ἐν Συρίᾳ Πέρσας τε τρισὶν ἐνίκησε μάχαις καὶ τὸν τοῦ βασιλέως υἱὸν Ὀρόδου κατήνεγκεν. Ὀρόδης δὲ ἦν ὁ τὸν Κράσσον ἀνελών, περὶ οὗ πρόσθεν εἴρηται. Οὗτός τε πρῶτος ἐθριάμβευσε κατὰ Περσῶν, δικαίᾳ ψήφῳ τὸ γέρας λαβών.

6. Οὐ μὴν ἔμεινεν ἐπὶ τῶν σπονδῶν ὁ Πομπήιος, ἀλλά, κατὰ θάλασσαν ἐπελθών, ἡττήθη τῇ ναυμαχίᾳ καὶ ἀνῃρέθη. Ἀντώνιος δὲ τὴν ἀδελφὴν Αὐγούστου, γαμετὴν αὐτῷ γεγενημένην, κατὰ τὰς Καίσαρος διαλλαγὰς *εἰσηγγάγετο τὴν Κλεοπάτραν βασιλεύουσαν [Αἰγύπτου]. Καὶ χωρήσας ἐπὶ Πέρσας, ἐν ἀρχῇ μὲν αὐτῶν ἐκράτει μάχῃ. Λιμοῦ δὲ καταλαβόντος τὸ στράτευμα καὶ ἐπ' αὐτῷ καὶ λοιμοῦ, ἀνεχώρησεν, ἐπεξιόντων Περσῶν, ὡσανεὶ ἡττημένῳ.

7. Ἐπανελθόντα δὲ αὐτὸν ἐκ Περσῶν ὦσεν εἰς ἐμφύλιον ἡ Κλεοπάτρα μάχην ἐπιθυμίᾳ τοῦ βασιλεῦσαι τῆς Ῥώμης. Καὶ συμπλακεὶς Αὐγούστῳ κατὰ θάλατταν πρὸς τῷ Ἀκτίῳ, τῆς Ἠπείρου χωρίῳ, ἧττόν τε ἔσχε, καὶ καταφεύγει πρὸς τὴν Αἴγυπτον. Ἀπογνοὺς δὲ τῶν πραγμάτων, ἐπειδὴ καὶ τὴν στρατιὰν εἶδεν, ἅπασαν Αὐγούστῳ προσνενευηθεῖσαν, ἑαυτὸν διεχρήσατο. Καὶ ἡ Κλεοπάτρα θάνατον ἐβούλευσε καθ' ἑαυτῆς, ἀσπίδας προσαγαγοῦσα, καὶ ταύτην ἐδέξατο τοῦ βίου τελευτήν. Οὕτω δὴ καὶ τῶν αἰγυπτιακῶν ἐγένετο πραγμάτων Αὔγουστος κύριος, ἐπέστησέ τε τῇ χώρᾳ Γάϊον Κορνήλιον Γάλλον, ὑπὸ τοῦτον δὲ πρῶτον ἄρχοντα Ῥωμαίων οἱ Αἰγύπτιοι ἐτέλεσαν.

8. Παύσας δὴ πάντα πανταχοῦ πόλεμον Αὔγουστος εἰς τὴν Ῥώ-

1. *Σικελίαν* Π : *σικελλίαν* Λ 3. *ἀγείρας* ΛΜ : *ἐγείρας* ΙΔΣ *χεῖρας* Π : *χεῖρας* ἐκ τοῦ *χείρας* τῇ δευτέρᾳ χειρὶ Λ 4. *φόνον* Ι : *φόβον* Π *ἐπὶ* Π : *ἐπὶ* Μ *σπονδαῖς* ΙΣΔ : *σπουδαῖς* ΛΜ 6. *κατώρθωσε* Π : *κατόρθωσε* Μ *Βεντίδιος* ΣΔ : *βέντιδος* ΛΜΙ 9. *οὗτός τε* ΙΔ : *οὗτος τὲ* Π 11. *εἰσηγάγετο* Π : *ἀποπέμψας εἰσηγάγετο* κατὰ τὰ ὑπὸ τοῦ Sylburg προταθέντα Δ 14-15. *Αἰγύπτου* προσετέθησαν Sylburg Δ : λείπει ΛΜΙΣ 20-21. *ἧττόν τε* ΣΔ : *ἧττον τὲ* ΛΜΙ 23. *διεχρήσατο* Π : *δι'εχρήσατο* ἐκ τοῦ *διεχρήσατο* Μ 24. *ἀσπίδας*. Γραπτέον ἀσπίδα 25. *Αὔγουστος* Π : *ὁ Αὔγουστος* Δ 26. *ἐπέστησέ τε* Δ : *ἐπέστησε τὲ* Π *Κορνήλιον* Π : *Κορνήλιον* Μ *τοῦτον* Π : *τοῦτον* ἐκ τοῦ *τοῦτο* Μ *δὲ* Π : *τὲ* Ι 27. *ἐτέλεσαν* Ι, καθ' ἃ προέτεινε Sylburg, Δ : *διετέλεσαν* ΛΜΣ

Ε.Σ.Ζ. της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μην ἐπανῆκε δωδεκάτῳ μὲν ἐκ τῆς ὑπατείας ἔτει, δευτέρῳ δὲ καὶ τριακοστῷ τῆς ἡλικίας, διέμεινέ τε μόνος Ῥωμαίων ἔχων ἀρχὴν ἔτη τέσσαρα καὶ τεσσαράκοντα. Τὸν γὰρ ἔμπροσθεν χρόνον ἐκοινώνουν αὐτῷ τῆς δυναστείας Ἀντώνιος καὶ Λέπιδος. Τελευτᾷ δὲ ἓξ καὶ ἑβδομήκοντα γενόμενος ἐνιαυτοὺς κοινὴν καὶ αὐτόματον τελευτὴν ἐν Ἀτέλλῃ πόλει τῆς Καμπανίας. Καὶ θάπτουσιν αὐτὸν κατὰ τὴν Ῥώμην ἐν τῷ καλουμένῳ Μαρτίῳ κάμπῳ, ἄνδρα δικαίως τε καὶ κατ' ἀξίαν ἐκ τοῦ πλείστου μέρους ὑποληφθέντα θεόν· οὔτε γὰρ ἐν πολέμοις ἀνδρειότερον ἡ τύχη δείξει, οὔτε ἐν ἡσυχίᾳ μετριώτερον ἄν τις εὕροι γεγενημένον ἐν οἷς μόνος οὗτος ἔσχε τὴν ἀρχὴν χρόνοις. Δημαγωγός τε γὰρ πάντων ἄριστος ἦν καὶ μεγαλόδωρος εἰς ἅπαντας καὶ πιστότατος τοῖς φίλοις, τὰς τιμάς τε ἀφθονώτατα παρεῖχεν ὡς ἐξισοῦν ἐθέλειν ἑαυτῷ τοὺς τούτων ἀξίους.

9. Ἤνθησε γοῦν τὰ τῆς Ῥώμης πράγματα μάλιστα κατ' αὐτόν, ἀπὸ τῶν ἐμφυλίων καθαρθέντα πολέμων, καὶ προσετέθη τοῖς ὑπ' αὐτοῖς οὖσιν Αἴγυπτός τε καὶ Καλαβρία, Δαλμάται τε ἐπὶ τούτοις, ἡττηθέντες γὰρ πρότερον πολλάκις, δουλεύσαντες δὲ ἐπ' αὐτοῦ μόνου, Ἰλλυριοί τε καὶ Παίονες καὶ Ἀκυτανοὶ καὶ Ῥητίαι καὶ Βενδέλικος καὶ Κάλασσος πρὸς τοῖς ὄρεσι τοῖς Ἀλπείοις, ἡ Ποντική τε παραλία καὶ ταύτης αἱ μέγισται πόλεις, Βόσπορός τε καὶ Παντικάπαιον, καὶ μὴν Δάκες τε καὶ Γερμανοί, μάχαις νικηθέντες πολλαῖς, ἀπῳκίσθησαν ὑπὲρ τὸν Ἄλβερον ποταμόν, ὃς ἐν μέσῳ ῥεῖ βαρβάροις ὡς πορρωτάτω τοῦ Ῥήνου. Κατώρθωσε δὲ τοῦτον μὲν τὸν πόλεμον διὰ τοῦ προγόνου Δρούσου, τὸν δὲ πρὸς Παίονας διὰ Τιβερίου· πρόγονος δὲ αὐτῷ καὶ οὗ-

2. *διέμεινε τε* Δ : *διέμεινε τὲ* Π Ἐν τῇ ᾤᾳ κάτω· + *ὅτι ὁ αὔγουστος* $\overline{\text{νς}}$ *ἔτη τὰ πάντα ἐβασίλευσεν ἀρξάμενος ἀπὸ* $\overline{\text{κ}}$ *ἔτους τῆς ἡλικίας· ὧν τὰ μὲν* $\overline{\text{ιβ}}$ *σὺν ἀντωνίῳ καὶ λεπίδῳ, τὰ δὲ* $\overline{\text{μδ}}$ *μόνος· καὶ ἔζησε τὰ πάντα ἔτη ἀπὸ γενέσεως,* $\overline{\text{ος}}$ : + ΑΜ 4. *καὶ* Π : λείπει Δ 8. *ὑποληφθέντα* ΙΣΔ : *ὑπολειφθέντα* ΑΜ 11. *εἰς* Π : *εἰ* Μ 14. *ἤνθησε* Π : *ἤνθησε* ἐκ τοῦ *ἤνθισε* Λ 15. *ἀπὸ* ΑΙΔ : *απὸ* Μ : *ὑπὸ* Σ 15-16. *ὑπ' αὐτοῖς* κατὰ τὴν πρότασιν τοῦ Sylburg διώρθωσε Δ : *ὑπάτοις* Π

16. *Αἴγυπτός τε* Δ : *Αἴγυπτος τὲ* Π *Καλαβρία* Π : *Κανταβρία* κατὰ τὴν πρότασιν τοῦ Sylburg διώρθωσε Δ *Δαλμάται* κατὰ τὴν πρότασιν Sylburg διώρθωσε Δ : *Δαλματία* Π 17. *γὰρ* Π : *μὲν* διώρθωσε Δ 18. *Βενδέλικος* Π : *βενκένδικος* (β) Μ. Γραπτέον *Βενδέλικοι* 19. *Κάλασσος* Π : *Σάλασσος* Δ. Γραπτέον *Σάλασσοι* 20. *Βόσπορός τε* ΙΣΔ : *βόσπορος τὲ* ΑΜ 22. *ἄλβερον* Ι : *Ἄρβερον* ΑΜΣ : *Ἄλβιον* διώρθωσε Δ 23. *δὲ* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *σὲ* πρόσθετον ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Λ 24. *πρόγονος* ΙΣΔ : *προγονός* τῇ δευτέρᾳ χειρὶ διωρθωμένον ἐκ τοῦ *πρόγονος* Λ : *προγονός* Μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τος ἦν· ὅθεν αὐτῷ τεσσαράκοντα χιλιάδες ἀνδρῶν αἰχμαλώτων ἤχθησαν, ἀπῴκισέ τε αὐτοὺς περὶ τὰς ὄχθας τοῦ Ῥήνου. Καὶ τῆς Ἀρμενίας δὲ τοὺς Πέρσας ἀφελόμενος, ὁμήρους ἔλαβε παρ᾽ αὐτῶν, τότε πρῶτον ἀνασχομένων παρασχεῖν· ὅτε δὴ καὶ τὰ ῥωμαϊκὰ σημεῖα τοῖς Ῥωμαίοις ἀπεδόθη, ἅπερ ἦσαν ἀποβαλόντες οἱ σὺν Βράκχῳ μεμαχημένοι.

10. Πρὸς αὐτὸν καὶ Ἰνδοὶ πρεσβείαν ἔστειλαν, οὔπω πρότερον τὴν ῥωμαϊκὴν βασιλείαν οὐδὲ ἀκοῇ δεδεγμένοι. Αὐτὸς καὶ Γαλατίαν, βασιλευομένην πρότερον μὲν εἰς σχῆμα ἤγαγεν ἐπαρχίας· ἡγεμόνα δὲ ἐπέστησε Μάρκον Πόλλιον. Τοιοῦτος δὲ ἦν αὐτοῦ καὶ τοῖς βαρβάροις ἔρως, ὥστε πολλοὺς καὶ τῶν βασιλευόντων ἐπωνύμους αὐτῷ κατασκευάσαι πόλεις· ὅθεν ἔτι καὶ νῦν εἰσιν αἱ Καισάρειαι. Πολλοὶ δὲ καὶ τῶν βασιλέων αὐτῶν, ἐπιθυμίᾳ τῆς Αὐγούστου θέας εἰς τὴν Ῥώμην ἀφικόμενοι, τὴν ῥωμαϊκὴν μετῆλθον στολήν, οὕτω τε αὐτῷ κατηκολούθουν ἐπὶ τῆς πόλεως, ἢ ἐφ᾽ ἅρματος ἢ ἐφ᾽ ἵππου φερομένῳ. Καὶ πρῶτος ἁπάντων ἔλαβε τὴν τοῦ θεοῦ προσηγορίαν, παραπέμψας καίσαρι Τιβερίῳ τὴν ἀρχήν, ὃς πρόγονός τε ἦν αὐτοῦ καὶ ἐπὶ θυγατρὶ κηδεστὴς καὶ πρὸς υἱοθεσίαν εἰσπεποιημένος.

11. Ἀλλ᾽ ὁ Τιβέριος ῥαθυμίᾳ τε ἐχρήσατο πολλῇ καὶ ὠμότητι καὶ πλεονεξίᾳ, ἡδοναῖς τε ἐξέδωκεν ἑαυτόν, πολέμου μὲν οὐδενὸς μετασχών, εἰ δέ που συσταίη, καὶ τοὺς καλουμένους λεγάτους ἐκπέμπων. Πίστεώς τε ἦν ὀλίγος αὐτῷ λόγος. Πολλοὺς γοῦν τῶν κατὰ ἔθνη βασιλευόντων ἐξ ἀπάτης εἰς ἑαυτὸν καλῶν κατεῖχεν ἄκοντας, ὡς Ἀρχέλαον τὸν Καππαδοκῶν βασιλέα, ὃν καὶ τῆς ἀρχῆς ἐκβαλών, ἐπαρχίαν τε ἐποίησε τὸ ἔθνος, καὶ τὴν μεγίστην πόλιν ὀνόματι προσηγόρευσεν οἰκείῳ Καισάρειαν, Μαζάκην πρότερον καλουμένην. Οὗτος μὲν οὖν τρίτῳ καὶ τριακοστῷ τῆς βασιλείας ἔτει τὸν βίον ἐτελεύτησεν

2. *ἀπῴκισέ τε* Δ : *ἀπώκισε τὲ* ΙΑΣ : *ἀπώκησε τὲ* Μ   *Ἀρμενίας* ΙΔ : *ἀρμενίας* ΑΜ : *Ἀρμενίας* Σ   4. *καὶ* ΑΜΙ : λείπει ΣΔ :   5. *Βράκχῳ* ΜΣ : *βράκχω* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *γράκχω* Α : *γράκχω* Ι : *Κράσσῳ* διώρθωσε Δ   9. *μὲν εἰς σχῆμα* (*εἰσχῆμα* Α) Π : *εἰς σχῆμα μὲν* Δ   10. *Πόλλιον* Π : *Λόλλιον* διώρθωσε Δ   12. *εἰσιν* Π : *εἰσὶν* Σ   *Καισάρειαι* Π : *κτάρειαι* τοῦ *κ* διορθωθέντος εἰς *σ* Α, *αι*   13. *ἐπιθυμίᾳ* Π : *ἐπιθυμίαι* Α   17. *πρόγονός* ΙΣΔ : *προγονὸς* Μ : *προγονὸς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *πρόγονο*. Α   *αὐτοῦ* ΙΜ : *αὐτῷ* ΑΣΠ   18. *εἰσπεποιημένος* Π : *εἰς πεποιημένος* Μ   19. *Ἐν τῇ ὥρᾳ Τιβέριος* ΑΜ : λείπει ΙΣΔ   25. *καὶ* Π : λείπει Ι   26. *Μαζάκην* Δ : *Μαζάκκην* Σ : *Ζάχλην* ΙΑΜ : *ζάχλην* Μ   27. *τριακοστῷ* Π : *εἰκοστῷ* διώρθωσε Δ

ἐπὶ τῆς Καμπανίας, ἑβδομήκοντα καὶ ὀκτὼ γεγεννημένος ἔτη, μεγίστην τε ἔτεκεν ἅπασιν εὐφροσύνην ἡ τελευτή.

12. Καὶ δέχεται τὴν βασιλείαν Γάϊος Καῖσαρ, ᾧπερ ἦν ἐπώνυμον Καλιγούλας, Δρούσου τε ἀδελφιδοῦς καὶ αὐτοῦ Τιβερίου, παμμίαρος καὶ πάσης πέρα συμφορᾶς· ὃς ἐκ τῆς αὐτοῦ κακίας πλείστην ἤνεγκε τοῖς Τιβερίου πταίσμασιν ἀπολογίαν. Οὗτος πόλεμον ἐπαγαγὼν τοῖς Γερμανοῖς, ἀνεχώρησε μὲν ἐκ τῆς μάχης αἰσχρῶς, βιασάμενος δὲ τὰς ἀδελφὰς καὶ συνελθὼν ἑκατέραις, θυγατέρα ἐκ μιᾶς αὐτῶν ἐποιήσατο, καὶ τῆς ἑαυτοῦ ἐκγόνης αὖθις ἐγένετο φθορεύς. Φιλάργυρος δὲ ὢν καὶ πλεονεξίᾳ κατὰ πάντων χρώμενος, οὐδεμιᾶς δὲ ἀπεχόμενος ἡδονῆς καὶ τοῖς αἰσχροῖς ὠμότητα συνάπτων, ἐν τῷ παλατίῳ κατεσφάγη, ἐνάτῳ μὲν καὶ εἰκοστῷ τῆς ἡλικίας ἔτει, τρίτῳ δὲ τῆς βασιλείας πρὸς δέκα μησὶ καὶ ἡμέραις ὀκτώ.

13. Μετὰ τοῦτον βασιλεύει Κλαύδιος, ὃς ἦν μὲν [θεῖος] τοῦ Καλιγούλου, Δρούσου δὲ παῖς· οὗ μνημεῖόν ἐστιν ἐν Μογοντιακῷ. Οὗτος βασιλικώτερον ἑαυτὸν ἦγαγε, μετριότητι μὲν πρὸς τοὺς πλείστους καὶ ἡμερότητι χρώμενος, ὠμότητι δὲ πρὸς ὀλίγους σφόδρα. Καὶ πρῶτος μετὰ τὸν πρόγονον αὐτοῦ Γάϊον καίσαρα Βρεττανοῖς ἐπήνεγκε πόλεμον. Νικήσας δὲ αὐτοὺς καὶ φόροις ὑπαγαγὼν διὰ Γνέου Σεντίου καὶ Αὔλου Πλαυτίου τῶν στρατηγῶν, ἐθριάμβευσεν. Ὑπερβὰς δὲ Βρεττανοὺς, τὰς Ὠκεανίτιδας νήσους, αἳ καλοῦνται νῦν Ὀρκάδες, συνῆψε Ῥωμαίοις. Ὅλως δὲ πολιτείᾳ μᾶλλον ἦν πρέπων. Ἀμέλει τὸν Πλαύτιον, πολλὴν ἀνδρείαν ἐπιδεδειγμένον ἐν τοῖς ὅπλοις, θριάμβῳ τιμήσας, αὐτὸς αὐτοῦ προεπόμπευε, καὶ ἐπὶ τὸ Καπιτώλιον συνηκολούθησεν, ἐν δεξιᾷ τὸν Πλαύτιον ἔχων. Βασιλεύσας δὲ τέσσαρας ἐνιαυτοὺς καὶ δέκα, καθιερώθη τε μετὰ τὴν τελευτὴν καὶ προσηγορεύθη θεός.

1. Ἐν τῇ ᾠᾳ· *Cϑ* Δ : *Cϑ* Μ : λείπει ΙΣΔ 3. Ἐν τῇ ᾠᾳ· *γάϊος* ΑΜ λείπει ΙΣΔ 4. *Καλιγούλας* ΙΔ : *Καλλιγούλας* ΑΜΣ 6. *οὗτος* Π : *οὗτος γάρ* Π 7. *μὲν* Π : λείπει Δ 9. *φιλάργυρος* Π : *φιλάργυρος* Μ : 10. *κατὰ πάντων* Π : *καταπάντων* Μ 12. *ἐνάτῳ* ἔγραψα : *ἐννάτω* Π 14. Ἐν τῇ ᾠᾳ· *κλαύδιος* ΑΜ : λείπει ΙΣΔ *θεῖος* κατὰ Sylburg προσέθηκα Δ : λείπει Π 15. *μνημεῖόν ἐστιν* ΙΔ : *μνημεῖον ἐστὶν* ΑΜΣ *Μογοντιακῷ* Π : *μ γοντιάκῳ* Μ *Οὗτος* Π : *Οὗτος δὲ* Δ 18. *πρόγονον* Ι : *προγονὸν* τῇ δευτέρᾳ χειρὶ ἀντὶ τοῦ τῇ πρώτῃ γραφέντος *πρόγονον* Δ : *προγονὸν* ΜΣΔ 19-20. *Γνέου Σεντίου καὶ Αὔλου Πλαυτίου* διώρθωσα Δ : *γνέου μοντίου* ΑΜΙ : *Γνέου δὲ Μαντίου* Σ 22. *ὅλως* ΣΔ : *ὅλος* ΑΜΙ *πρέπων* ΙΣΔ : *πρέπον* ΑΜ 22-23 (καὶ 25.) *Πλαύτιον* Π : *πλάντιον* Μ 24. *αὐτὸς* Π : *αὐτὸς* ἐκ τοῦ *αὐτοῖς* τῇ πρώτῃ χειρὶ Α *Καπιτώλιον* Δ : *Καπετώλιον* Π. Ἴδε ἀνωτέρω σ. 11, 23. 12, 24. 18, 5. 47, 9. 26. *τὴν* ΙΔ : λείπει ΑΜΣ

14. Καὶ παρῆλθεν εἰς τὴν βασιλείαν ὁ Νέρων, ἐξ ἀδελφῆς μὲν τοῦ Καλιγοῦλου γεγονώς, παριὼν δὲ πάσῃ πονηρίᾳ τὸν θεῖον Γάϊον. Τήν τε γὰρ ἀρχὴν κατῄσχυνε καὶ πολλὰ τῶν ῥωμαϊκῶν ἐμείωσε δικαίων. Οὕτω δὲ ἐδούλευεν ἡδοναῖς, ὡς μηδεμιᾶς ὑπὲρ αὐτῶν φείδεσθαι δαπάνης. Ἐνελούετο μὲν γὰρ μύροις, θερμοῖς μὲν ἀντὶ θερμῶν ὑδάτων, ψυχροῖς δὲ ἀντὶ τῶν ψυχρῶν, δίκτυά τε κατασκευάσας ἐκ χρυσοῦ τε καὶ ἁλουργίδος, τούτοις εἰς θήραν ἰχθύων ἐχρῆτο. Τελευτῶν τε εἰς τοσαύτην ἤλασεν ἀσέλγειαν, ὥστε ἐν θεάτροις πρὸς ὀρχηστάς τε καὶ κιθαριστὰς καὶ φωνάσκους ἀγωνίσασθαι σχήματι καὶ στολῇ τῶν ταῦτα ἐπιδεικνυμένων. Ἰσόρροπα δὲ ἦν αὐτῷ καὶ τὰ τῆς ὠμότητος, ὥστε μηδὲ τοῦ τῶν φιλτάτων αἵματος ἀποσχέσθαι. Πολλούς τε τῶν συγκλητικῶν ἀποσφάξας, ὕστερον τὸν ἀδελφὸν καὶ τὴν ἀδελφὴν καὶ τὴν γαμετὴν διεχρήσατο. Καὶ τὸ μέγιστον τοῦ διεφθάρθαι τὴν ψυχὴν αὐτῷ σημεῖον ἐκεῖνό ἐστιν. Ἐπιθυμήσας γὰρ ὀφθαλμοῖς δέξασθαι τὸν ἐν ταῖς συγγραφαῖς τῆς Τροίας ἐμπρησμόν, ἐκέλευσε τοῖς λαμπροῖς τῆς Ῥώμης οἰκοδομήσασιν ἐπιβληθῆναι πῦρ, καὶ τέρψεως εἶδος ἐποιεῖτο τοιαύτην συμφοράν. Τούτου βασιλεύοντος αἱ μέγισται τῶν βρεττανικῶν ἀφῃρέθησαν πόλεων, καὶ Πέρσαις Ἀρμενία προσεχώρησε, καὶ ὅλως ἐν αἰσχύνῃ τὰ Ῥωμαίων. Κατεστήσατό γε μὴν ἐπαρχίας τόν τε Πολεμωνιακὸν καλούμενον Πόντον καὶ τὰς Κοττίας Ἄλπεις, τὴν μὲν συγχωροῦντο[ς] τότε Πολέμωνος βασιλεύοντος Πόντου, τὴν δὲ Κόττου τελευτήσ[αντο]ς, ἐπειδήπερ ὁ κωλύων οὐκ ἦν.

15. Ἐκ τούτων ἐπάρατος μὲν ἦν ἐν πάσῃ τῇ βασιλευομένῃ γῇ, ψηφίσματι δὲ τῆς συγκλήτου καὶ πολέμιος ἀπεφάνθη. Καὶ καταλειφθεὶς ὑπὸ τῶν δορυφόρων τε καὶ ἡγουμένων ἐκαλεῖτο πρὸς τιμω-

1. Ἐν τῇ ῥᾳ *νέρων* ΑΜ : λείπει ΙΣΔ 2. *παριὼν* ΙΣΔ : *περιὼν* ΜΣ *τὸν* ΜΣΔ : τὸ συμπληρωθὲν ὑπὸ τοῦ ἐρυθρογράφου εἰς *τὸν* Α *Γάϊον* ΣΔ : *γάϊον* πρόσθετον τῇ δευτέρᾳ χειρὶ ἄνωθεν Μ : λείπει Ι : *γάϊον* πρόσθετον ἄνωθεν ὑπὸ τοῦ ἐρυθρογράφου Α 4. *μηδεμιᾶς* ἔγραψα : *μηδὲ μιᾶς* Π 6. *δίκτυα τε* Δ : *δίκτυα τὲ* Π 8. *τε* Σ : *τὲ* ΑΜΙ : *δὲ* Δ *ἤλασεν* ΙΣΔ : *ἤλασεν* ΑΜ 9. *τε* ἔγραψα : *τὲ* Ι : λείπει Π *σχήματι* Π : *σχήματι* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *χρήματι* τῆς πρώτης Α 10. *ἐπιδεικνυμένων* Π : *περιδεικνυμένων* Δ 11. *μηδὲ* ΣΔ : *μὴ δὲ* ΑΜΙ 11-12. *πολλούς τε* Δ : *πολλούς τὲ* Π 14. *ἐκεῖνό ἐστιν* Δ : *ἐκεῖνο ἐστὶν* Π 17. *τούτου* Π : *τούτου οὖν* Δ 18. *Ἀρμενία* ΙΔ : *Ἀρμενία* ΑΜΣ 19. *Ῥωμαίων* Π : *ῥωμαίων ἐγένετο* κατὰ τὰ προταθέντα ὑπὸ Sylburg ὁ Δ 20. *Κοττίας* ΙΔ : *Σκοττίας* ΑΜΣ 21. *τότε Πολέμωνος* Π : *Πολέμωνος τοῦ τότε* Δ 22. *Κόττου* διώρθωσε Δ : *Σκόττου* ΙΑ : *Σκότου* ΜΣ *κωλύων* Π : *κωλύων* ἐκ τοῦ *κωλύσων* Μ 24-25. *καταλειφθεὶς* ΙΜΔ : *καταληφθεὶς* ΑΣ

ρίαν. Δόγμα δὲ ἦν, ὥστε γυμνὸν αὐτὸν παντὸς ἐσθήματος περιαχθῆναι, ζυγοῦ κατὰ τῶν τενόντων κειμένου, καὶ καταξανθέντα τὸ σῶμα ῥάβδοις κατακρημνισθῆναι. Τούτων οὕτω λελεγμένων αἰσθόμενος, κατέφυγεν ἐπὶ τὸ προάστειον μεταξὺ Σαλαρίας καὶ Νωμεντάνης, τετάρτῳ τῆς Ῥώμης σημείῳ, καὶ τελευτὴν ἐπήγαγεν ἑαυτῷ. Αὐτοῦ δὲ ἦν ἔργον τὸ λουτρόν, ὃ νῦν Ἀλεξανδρειανὰς προσαγορεύουσι, Νερωνιανὰς τὸ πρὶν καλούμενον. Ἔδοξε γὰρ μηδαμοῦ τὴν προσηγορίαν αὐτοῦ φέρεσθαι. Τριακοστοῦ δὲ καὶ ἑνὸς ἔτους τῆς ἡλικίας ἀπώλετο, τέσσαρα ἐπὶ τοῖς δέκα βασιλεύσας· εἰς αὐτόν τε ἔστη τῆς τοῦ Καίσαρος συγγενείας ἡ διαδοχή.

16. Μετὰ δὲ τοῦτον βασιλεύει Σέρβιος Γάλβας, ἐκ τῶν πορρωτάτω προγόνων ἐπιφανὴς καὶ τῆς συγκλήτου τῆς ῥωμαϊκῆς ἐπισημότατος, ἔτη γεγονὼς τρία καὶ ἑβδομήκοντα. Ἤγαγον δὲ αὐτὸν ἐπὶ τὴν ἀρχὴν Ἰσπανοί τε καὶ Γάλλοι, καὶ μετὰ τὴν ἐκείνων ἀνάρρησιν ὁ πᾶς κατηκολούθησε στρατός, θαῦμα ἔχων αὐτοῦ τῆς ἀρετῆς ἁπάσης, ἣν ἰδιωτεύοντι συνήδει περὶ τὰ πολιτικὰ πράγματα καὶ τὰς περὶ τοὺς πολέμους μάχας ἐν αἷς ἐξέλαμψε, νῦν μὲν ὑπατικήν, νῦν δὲ ἀνθύπατον ἐξουσίαν ἔχων, ἄλλοτε δὲ στρατηγῶν μόνον δίχα τινὸς ἀρχῆς. Ἐλάχιστον δὲ ἐβασίλευσε χρόνον, ἐν μὲν τοῖς προοιμίοις εὐδοκιμήσας, ἐξ ὠμότητος δὲ μετὰ ταῦτα χείρονα δόξαν λαβών. Τελευτᾷ δὲ ἐξ ἐπιβουλῆς Ὄθωνος, ἑβδόμῳ τῆς βασιλείας μηνί, ἀγχόνῃ διαφθαρεὶς ἐπὶ τῆς Ῥώμης· ἐτάφη τε ἐν τοῖς ἑαυτοῦ κήποις τοῖς περὶ τὴν ὁδὸν τὴν καλουμένην Αὐρηλίαν.

17. Βασιλεύει δὲ μετ᾽ αὐτὸν ὁ τούτου φονεύς, ἐξ ἐπισήμων κατιὼν πατέρων, ἐπιφανεστέρου δὲ τοῦ μητρῴου, ἀνὴρ ἀγαθός τε καὶ πρᾶος καὶ φίλος μὲν ἐς τὰ μάλιστα Νέρωνι, οὐδὲν δὲ ὑπὸ τῆς πρὸς ἐκεῖνον συνηθείας βλαβείς. Ἐν μέντοι τῇ βασιλείᾳ γενναῖον οὐδὲν ἐπεδείξατο δι᾽ αἰτίαν τήνδε. Βιτέλλιος γάρ, ἡνίκα οὗτος ἐβασίλευσεν, ὑπὸ τῆς

2. *κειμένου* II : *κειμένου* Μ 6. *Νερωνιανὰς* II. 9. *αὐτόν τε* ΙΜΔ : *αὐτόν τε* ΛΣ *ἔστη* II : *ἔστη* Μ 10. *διαδοχή* II : *διάδοχη* Μ 11. Ἐν τῇ φᾳ· *γάλβας* ΑΜ : λείπει ΙΣΔ 14. *Ἰσπανοί* Δ : *Ἰσπανοί* ΑΜΙ : *Ἰσπανοί* Σ 16. *τοὺς* II : *τοὺς* ἐκ τοῦ *τοῦς* Α 17. *ἐξέλαμψε* ΙΔΣ : *ἐξέλαμψεν* ΑΜΣ 20-21. *Ὄθωνος* II : *ὄθωνος* τῶν ἄνωθεν ος διαγραφέντων Α 22. *ὁδὸν τὴν* ΙΣΔ : *ὁλόντην* ΑΜ 24. Ἐν τῇ φᾳ· *ὄθων* ΑΜ : λείπει ΙΣΔ 26. *τὰ μάλιστα* II : *ταμάλιστα* ἐκ τοῦ *τὰ μάλιστα* διαγραφέντος τοῦ τόνου Α 28. *Βιτέλλιος* ΣΔ : *βιτέλλιος* διώρθωσεν ὁ ἐρυθρογράφος τὸ *βετέλλιος* Α : *βιτέλλιος* Μ : *βετέλλιος* Ι *γὰρ* ΑΜΔ : λείπει ΙΣ

Ε.ΥΑ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐν Γερμανοῖς στρατιᾶς ἀνερρήθη. Καὶ γίγνεται πόλεμος Ὄθωνί τε καὶ ἐκείνῳ καὶ τοῖς μεθ' ἑκατέρου στρατεύμασι. Μετὰ πλείονος δὲ πλήθους οὗτος παρατταττόμενος ἧττον ἔσχεν ἐν τῇ πρώτῃ συμπλοκῇ· δεινόν τε ποιησάμενος, ὅτι δὴ τῆς ἐλάττονος στρατιᾶς ἔλαττον σχοίη, πρὸς θάνατον ὥρμησε. Κωλυόντων δὲ αὐτὸν τῶν στρατιωτῶν σὺν τοῖς ἡγεμόσιν αὐτῶν καὶ πειθόντων ὡς ἀπαγορεύειν ἤδη τοῦ τέλους ἀπερίσκεπτον ἂν εἴη, τὴν ἑαυτοῦ γνώμην ἐκύρωσε, μὴ τοσούτου ποιεῖσθαι τὰ καθ' ἑαυτόν, ὥστε ἀξιόχρεω νομίζειν αὐτὰ πρὸς ἐμφύλιον εἶναι πόλεμον. Ἐπήγαγεν ἑαυτῷ τελευτὴν ὀγδόῳ καὶ τριακοστῷ τῆς ἡλικίας ἔτει, τῆς δὲ βασιλείας πέντε καὶ ἐνενήκοντα ταῖς πάσαις ἡμέραις.

18. Βιτέλλιος οὖν ἦν ἐπὶ τῆς βασιλείας, ἐκ πατέρων γεγεννημένος γένει μὲν οὐκ ἐπισήμων, τὰς τιμὰς δὲ ἐξ ἀρετῆς κτησαμένων. Ὁ γοῦν πατὴρ αὐτοῦ, τρίτον ἐπὶ τὴν ὑπατείαν κληθείς, οὐ κατήσχυνε τοὺς ἑλομένους, εἰς δέον ταῖς ἐξουσίαις χρησάμενος. Ἀλλ' ἐγένετο κατὰ τὴν βασιλείαν ἀτοπώτατος καὶ τῇ γαστρὶ πάντα μετρῶν, ὥστε νύκτας ἡμέραις συνάπτειν ἐν συμποσίοις. Φασὶ γοῦν αὐτῷ τὸν ἀδελφὸν παρασκευάσαι τράπεζαν, προσθεῖναι δὲ αὐτῷ δισμυρίους μὲν ἰχθῦς, ἑπτακισχίλια δὲ πτηνὰ καὶ τὴν ἄλλην ἅπασαν δαπάνην ἐφάμιλλον. Μιμεῖσθαι δὲ ἐπεμελεῖτο τὸν Νέρωνα, καὶ πρὸς τὸν ἐκείνου ζῆλον ἅπαντα πράττειν ἐποιεῖτο. Τὸν τάφον τε αὐτῷ λαμπρότερον ἐποίησε γενέσθαι· κατορώρυκτο γὰρ ἀσήμως, ὡς ἐν τοῖς ἔμπροσθεν δεδήλωται. Ταῦτα οὔτε ὁ δῆμος ἤνεγκεν, οὔτε ὁ στρατὸς ὁ τεταγμένος ὑπὸ Οὐεσπασιανῷ· στρατηγὸς δὲ ἦν οὗτος τὴν πρὸς Ἰουδαίους διακονούμενος μάχην· ἀλλὰ προσάγουσι μὲν αὐτὸν εἰς τὸ δημόσιον, ἐπειδὴ καὶ τὸν ἀδελφὸν Οὐεσπασιανοῦ Σαβῖνον συνεμπρήσας ἐτύγχανε τῷ Καπιτωλίῳ.

1. *ἀνερρήθη* Π : *ἀνερρήθη* τῶν γραμμάτων *ερρη* γραφέντων ὑπὸ τοῦ ἐρυθρογράφου ἄνωθεν ἄλλων μελαίνων νῦν ἀδιαγνώστων Α  *Ὄθωνί τε* Δ : *Ὄθωνι τέ* Π
6. *αὐτῶν* Π : *αὐτῶν* Δ  6-7. *ἀπερίσκεπτον* Π : *ἀπερίσκεπτον* ἐκ τοῦ *ἀπερισκεπτεῖν* Μ  8. *ἀξιόχρεω* Δ : *ἀξιόχρεων* Π  9. *ἐπήγαγεν* Π : *ἐπήγαγέ τε* Δ
10. *ἐνενήκοντα* ἔγραψα : *ἐννενήκοντα* Π  11. Ἐν τῇ φφ' *βιτέλλιος* ΑΜ : λείπει ΙΣΔ  12. *κτησαμένων* Π : *κατησαμένων* Π  15. *πάντα* Π : *πάντας* Ι
16. *αὐτῷ* ΑΣΔ : *αὐτοῦ* Μ : *ἐν αὐτῇ* Ι  17. *δισμυρίους* ΙΜΣ : *δισμυρίοις* Α : *δισχιλίους* διώρθωσε Δ  *ἰχθῦς* Π : *ἰχθύς* Μ  19. *ἐκείνου* Π : *ἐκείνου* ἐκ τοῦ *ἐκείνου* τῇ πρώτῃ χειρὶ Α  21. *ἀσήμως* ΙΣΔ : *ἀσήμως* ἄνωθεν δ' αὐτοῦ τῇ δευτέρᾳ χειρὶ *ἄσημος* Μ : *ἀσήμως* οὗ ἄνωθεν ἐγράφη ὑπὸ τοῦ ἐρυθρογράφου *ἄσημος* Α  *δεδήλωται* Π : *δεδήλωται* ἐκ τοῦ *δεδήλοται* Μ  22. *οὔτε ὁδ.* Π : *οὐκ οὔτε ὁδ.* Δ  *Οὐεσπασιανοῦ* Π : *Οὐεσπασιακοῦ* Δ  25. *Καπιτωλίῳ* Δ : *Καπιτωλίῳ* Π. Ἴδε ἀνωτέρω σ. 11, 23. 12, 24. 18, 5. 47, 9. 74, 24.

Κρεμάσαντες δὲ ἀπὸ τῆς κόμης καὶ τῷ λαιμῷ ξίφος ὑποθέντες, εἷλκον διὰ τῆς πόλεως, τό τε στέρνον γυμνώσαντες, ὥστε τοὺς ἐντυγχάνοντας κατ' ἐξουσίαν πλήττειν, καὶ τοῦτον αἰκισάμενοι τὸν τρόπον, τὸ τελευταῖον ἀπέπνιξαν, καὶ τὸ σῶμα ἔρριψαν εἰς τὰ ῥεύματα τοῦ Θύμβριδος ὡς οὐκ ἄξιον ὂν ἐπικαλυφθῆναι τῇ γῇ. Καὶ ὁ μὲν οὕτως ἐτελεύτησεν ἑβδόμῳ καὶ πεντηκοστῷ τῆς ἡλικίας ἔτει, τῆς βασιλείας ἐν ὀγδόῳ μηνί, μιᾶς προσδεούσης ἡμέρας.

19. Διαδέχεται δὲ τὴν βασιλείαν Οὐεσπασιανός, ἐπὶ τῆς Παλαιστίνης ἀναρρηθείς, γένει μὲν οὐ λαμπρός, ἀρετὴν δὲ οἷος τοῦ σφόδρα ἀρίστοις συμφέρεσθαι καὶ δόξαν ἀεὶ δή ποτε μεγίστην ἐπὶ μεγίστοις ἔργοις κεκαρπωμένος, ἡνίκα Κλαυδίῳ τῷ βασιλεύσαντι στρατηγῶν, ὡς μικρῷ πρόσθεν εἴρηται, δύο καὶ τρισὶ μάχαις τήν τε Γερμανῶν καὶ Βρεττανῶν ἅπασαν γῆν συνῆψε Ῥωμαίοις πόλεις τε αὐτῶν εἷλεν εἴκοσι περιφανεστάτας καὶ τὴν μεγίστην τῶν βρεττανικῶν νήσων, τὴν Βέκτην. Οὕτω δ' ἐβασίλευσεν, ὥστε μηδὲ ἔξω γενέσθαι μετριότητος, μήτε ὑπεροφθῆναι παρὰ τῶν ὑπηκόων. Χρημάτων δὲ ἐπεμελεῖτο μέν, ἄδικον δὲ ἔφευγε κτῆσιν. Τὸν πλοῦτον γε μήν, ὃν συνέλεγε, τοῖς ἀμφ' αὐτὸν ἐδωρεῖτο καὶ τοῖς μάλιστα τῶν τιμῶν ἀξιωτάτοις. Οὐδεὶς γοῦν τῶν προτέρων τοσαύτην ἐπεδείξατο μεγαλοψυχίαν. Τοσαύτη δὲ ἦν ἡ φιλανθρωπία καὶ ἡ πραότης, ὥστε τοὺς ἐπιβουλεύειν αὐτοῦ τῇ βασιλείᾳ δόξαντας μὴ βαρέως ἀμύνασθαι, ἀλλ' ἄχρι τοῦ τῆς πόλεως ἐκβάλλειν στῆσαι τὰς τιμωρίας. Τῇ τε ἀρχῇ προσέθηκεν Ἰουδαίους τε καὶ τὰ Ἱεροσόλυμα, τότε πρῶτον αὐτοὺς ὑπαγαγὼν τῇ δουλείᾳ. Ἀχαΐαν τε καὶ Λυκίαν καὶ Ῥόδον καὶ τὸ Βυζάντιον καὶ Σάμον, αὐτονόμους οὔσας, ἠνάγκασε τοῖς ῥωμαϊκοῖς πολιτεύεσθαι θεσμοῖς, Θρᾷκάς τε ἐπὶ τούτοις καὶ Κομμαγηνούς, οἰκείας ἔχοντας βασιλείας, εἰς ἐπαρχιῶν σχῆμα μετέστησε.

20. Πάντων δὲ μέγιστον ἐκέκτητο τὸ μήτε ἀπεχθείας μνημονεύειν

1. *κόμης* Π : *κόμμης* ΑΜ  3. *τὸν* Π : *τὸν* ἐκ τοῦ *τῶν* τῇ πρώτῃ χειρὶ Α  6. *καὶ* Π : *μὲν καὶ* Δ  *βασιλείας* Π : *δὲ βασιλείας* Δ  8. Ἐν τῷ φχ' *οὐεσπεσιανὸς* ΑΜ : λείπει ΙΣΔ  *δὲ* Π : *δὲ οἷος τοῖς σφόδρα* Μ  *Παλαιστίνης* ΙΣΔ : *παλαιστήνης* ἐκ τοῦ *παλαιστίνης* τῇ πρώτῃ χειρὶ Α : *παλαιστήνης* Μ  12. *τρισὶ* Π : *τριάκοντα* διώρθωσε Δ  14. *περιφανεστάτας* Π : *περιφανεστάτας* Α  15. *μηδὲ* ΣΔ : *μήδὲ* ΑΜΙ  *ἔξω* ΛΣΔ : *ἔξωθεν* ΙΜ  15-16. *μετριότητος* Π : *μετριώτητος* ἐκ τοῦ *μετριώτητος* Μ  18. *ἀξιωτάτοις* Π : *ἀξιωτάτους* Μ  25. *οὔσας* ἐν συνεχείᾳ τοῦ κειμένου Π : *οὔσας* πρόσθετον ἄνωθεν τῇ δευτέρᾳ χειρὶ Α  *θεσμοῖς* Π : *θεσμοῖς* διαξεσθέντος τοῦ ἀντὶ τοῦ σ γραφέντος τὸ πρῶτον ρ Μ  26. *Θρᾷκάς τε* Π : *Θρᾶκας τὲ* Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επ. Α. msK.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πρός τε τοὺς κατηγοροῦντας ῥήτοράς τε καὶ φιλοσόφους μὴ βαρέως ἔχειν. Τῶν γε μὴν στρατιωτικῶν πταισμάτων τιμωρὸς ἦν ἀκριβής, πικροτέραις αὐτοὺς ἀεὶ σωφρονίζων ἐπιστροφαῖς, καὶ τοιοῦτος ἦν ἐπὶ τῆς βασιλείας. Θριαμβεύει δὲ ἐν Ῥώμῃ κατὰ Ἰουδαίων μετὰ τοῦ παιδός. Πάντας τοίνυν ἀνῃρημένος, τούς τε ἀπὸ τοῦ δήμου καὶ τοὺς ἐν ταῖς ἡγεμονίαις, καὶ τὸ ὑπήκοον ἅπαν, ἐπίσης δὲ ὑπὸ πάντων θαυμαζόμενος, ἐτελεύτησε, τῆς γαστρὸς αὐτοῦ καταρραγείσης, ἐν ἀγρῷ περὶ τὰ ὅρια Ἀθηνῶν, οἰκείως τε καὶ θεός τε προσηγορεύθη καὶ ὑπὸ Ῥωμαίων ἐτάφη λαμπρῶς, σφόδρα αὐτοῦ τὴν τελευτὴν ὀδυρομένων. Τούς γε μὴν παῖδας γενεθλιαλογήσας, ἑκατέρους αὐτοῦ ἐπέπειστο διαδόχους ἔσεσθαι τῆς ἀρχῆς, ὥστε, πολλῶν ἐπιβουλευσάντων πολλάκις, μηδὲν ἐπιστραφῆναι, φῆσαι δὲ ἐν κοινῇ ποτε συνόδῳ ἢ μηδένα μετ᾽ αὐτὸν βασιλεύειν ἢ τοὺς ἐξ αὐτοῦ γεγενημένους. Ἐτελεύτησε δὲ τῆς ἡλικίας ἔτει ἐνάτῳ καὶ ἑξηκοστῷ, τῆς βασιλείας δὲ ἐνάτῳ καὶ ἡμέρας ἑπτά.

21. Μετὰ τοῦτον τοίνυν διεδέξατο τὴν βασιλείαν Τίτος ὁ παῖς, ὁμώνυμος τῷ πατρί, ταῖς ἀρεταῖς ἁπάσαις πᾶσαν εὐφημίαν νικῶν. Τὸ πλῆθος γοῦν αὐτὸν κοινὸν ἔρωτα προσηγόρευεν. Ἦν δὲ οὐχ ἧττον τὴν γλῶτταν ἠσκημένος εἰς λόγους ἢ τὴν χεῖρα πρὸς μάχας· ἐν οὐδενὶ δὲ τοῦ εἰκότος τὸ μέτρον ὑπερέβαινεν. Ἠγώνιστο δὲ καὶ τοὺς ἐν δικαστηρίοις ἀγῶνας· καὶ δημιουργὸς μέτρων ἄριστος ἦν, ὡς καὶ τραγῳδίαν Ἑλλάδι φωνῇ συνθεῖναι. Ἡνίκα δὲ τῷ πατρὶ κατὰ τῶν Ἰουδαίων συνεστρατεύετο, δύοκαὶ δέκα τῶν προμάχων ἰσαρίθμους βέλεσι κατηγωνίσατο. Καὶ γενόμενος ἐπὶ τῆς βασιλείας οὕτως ἦν κοινὸς καὶ μέτριος, ὡς μηδένα μὲν ἀπαιτῆσαι τιμωρίαν, τοὺς δὲ ἐπ᾽ αὐτῷ συστάντας ἔξω

2. *γε* ΙΣΔ : *τε* ΑΜ 6. *ὑπήκοον* Π : *ὑπήκοον* Ι 8. *Ἀθηνῶν* Π : *Σαβίνων* διώρθωσε Δ 9. *λαμπρῶς* Π : *λαμπρὸς* ἐκ τοῦ *λαμπρῶς* τῇ δευτέρᾳ χειρὶ Α 10. *γενεθλιολογήσας* ΙΑΜ : *γενεθλιολογήσας* ΣΔ 12. *ποτε* ΙΔ : *ποτὲ* ΑΜΣ Ἐν τῇ ῴᾳ Ο[illegible] Α : λείπει Π *βασιλεύειν* ΙΑΜ : *βασιλεύσειν* ΣΔ 14-15. Ἐν ταῖς λέξεσι *δὲ τῆς ἡλικίας—βασιλείας δὲ* defectus ἐ Σ 14. *ἡλικίας* ΑΜΙ : *μὲν ἡλικίας* Δ *ἐνάτῳ καὶ ἑξηκοστῷ* ΑΜΙ : *ἑξηκοστῷ ἐννάτῳ* Δ 15. *βασιλείας δὲ* ΑΜΙ : δ᾽ ἀρχῆς Δ *ἐνάτῳ* Π : *ἐννάτῳ* Δ 16. Ἐν τῇ ῴᾳ· *τίτος* ΑΜ : λείπει ΙΣΔ *Τίτος* ΣΔ : *τίττος* ΑΜΙ *παῖς* ΙΣΔ : *παῖς, τίττος* ΑΜ 17. *ταῖς* Π : *ταῖς δ᾽* Δ 18. *προσηγόρευεν* Π : *προσηγόρευε* Σ 19. *γλῶτταν* Π : *γλῶτταν* Μ 20. *τοῦ εἰκότος* Π : *εἰκότως* διορθωθὲν τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *εἰκότος* Α 22-23. *κατηγωνίσατο* ἐν συνεχείᾳ τοῦ κειμένου ΜΣΔ : *κατηγωνίσατο* πρόσθετον ἀμέσως μετὰ τὸ τέλος τοῦ στίχου ἐν τῇ ῴᾳ Α : λείπει Ι 25. *ἔξω* Π : *ἐκ* Δ

συνομωσίας ἀφεῖναί τε καὶ καταριθμῆσαι τοῖς φίλοις. Τὸ μεγαλόψυχον δὲ αὐτοῦ καὶ φιλόδωρον τοσοῦτον ἦν, ὥςτε αὐτῷ τινας εὐκολίαν ἐγκαλεῖν, τὸν δὲ ἀπολυόμενον τὴν κατηγορίαν εἰπεῖν μηδένα χρῆναι στυγνοτέραν ἔχειν ἀπὸ βασιλέως τὴν ἀναχώρησιν. Δειπνοῦντα δέ ποτε καὶ λογισάμενον ὡς οὐδὲν οὐδεὶς ἐκείνην εὖ πάθοι τὴν ἡμέραν σχετλιάσαι καί, καθάπερ αὐτῷ τῆς ἡμέρας ἀπολωλυίας, εἰπεῖν Οὐκ ἐβασίλευσα τὴν παροῦσαν ἡμέραν· οὐδεὶς γὰρ ἐξ ἐμοῦ εὖ πέπονθε σήμερον. Κατασκευάσας δὲ Ῥωμαίοις τὸ καλούμενον Ἀμφιθέατρον, ἀπήρξατο τῆς ἐν αὐτῷ θέας, πεντακισχίλια μὲν ἐγκατασφάξας τῷ τόπῳ θηρία, πολλὴν δὲ καὶ ἄλλην ἐπιδειξάμενος πολυτέλειαν.

22. Ἐτελεύτησε δὲ ὑπ᾿ ἀρρωστίας ἐν ᾧπερ καὶ ὁ πατὴρ ἀγρῷ, δύο τοῦ πατρὸς ὕστερον ἔτεσι καὶ μησὶν ὀκτὼ καὶ ἡμέραις εἴκοσι βασιλεύσας, προβὰς εἰς ἡλικίαν ἔτους ἑνὸς πρὸς τοῖς τεσσαράκοντα. Καὶ ἤγειρε τῷ δήμῳ πένθος μέγα, ὥςτε κοινὸν αὐτὸ καὶ δημόσιον δογματισθῆναι. Καὶ οὐ μᾶλλον ἦν πάντων ἢ ἴδιον ἑκάστου τὸ πάθος· οὐδεὶς γὰρ ἦν ὃς οὐ τῆς οἰκίας ἐποιεῖτο τῆς αὐτοῦ τὴν συμφοράν. Ἀρχομένης γοῦν ἑσπέρας, αὐτοῦ μεταστάντος, σύνοδος ἐγένετο τοῦ λαμπροῦ πλήθους ἐν τῷ βουλευτηρίῳ, χάριτας ὁμολογούντων καὶ τεθνηκότι τῷ Τίτῳ. Μόνος τε οὗτος ἐκ πάντων πλείους ἐδέξατο θεραπείας ἐκ λόγων ἢ ζῶντες ἕτεροι. Συνηριθμήθη δὲ τοῖς θεοῖς

23. τὴν βασιλείαν ἐπὶ τὸν νεώτερον ἀδελφὸν παραπέμψας Δομετιανόν, ὃν Νέρωνα ἢ Καλιγούλαν ἢ Τιβέριον εἰπὼν οὐκ ἄν τις ἁμάρτοι· τοσοῦτον ἔσχε πρὸς αὐτοὺς τὸν ζῆλον, οὔτε τοῦ πατρός, οὔτε τοῦ ἀδελφοῦ μιμησάμενος οὐδέν. Ἀλλ᾿ ἐν προοιμίοις μὲν τῆς βασιλείας μετριότητός τινος ἐπεμελήθη· κατὰ μέρος δὲ αὔξων τὴν πονηρίαν, εἰς πᾶν προῆλθεν ἡδονῶν τε καὶ θυμοῦ καὶ ὠμότητος, καὶ ταῦτα ἐνίκα τῇ πλεονεξίᾳ. Μῖσος οὖν, ὡς εἰκός, ἠκολούθει μέγιστον, ὥςτε τῶν πατρῴων τε καὶ ἀδελφικῶν ἀγαθῶν τὴν μνήμην ἐκβαλεῖν. Οὕτω γοῦν πολλοὺς μὲν ἀνῄρει τῆς συγκλήτου, θεὸν δὲ αὐτὸν ἠνάγκαζε προςαγορεύειν, οὐκ ἀνεχόμενος ἀνδριάσι πλὴν χρυσοῖς καὶ ἀργυροῖς τιμᾶσθαι, καὶ τούτοις ἐν Καπιτωλίῳ. Ἐπλήρωσε δὲ καὶ ἐμφυλίου τὰς χεῖρας

1. *ἀφεῖναί τε* Δ : *ἀφεῖναι τὲ* Π 2. *τινας* Δ : *τινάς* Π 3. *εἰπεῖν* ΣΔ : *εἶπεν* ΑΜΙ 11. *ἀρρωστίας* Δ : *ἀρρωστία* Π 16. *αὐτοῦ* Π : *αὑτοῦ* Δ 19. *Τίτῳ* ΣΔ : *τίτω* ΑΜΙ *τε* ΣΔ : *τὲ* ΑΜΙ Ἐν τῇ ῷφ᾿ *δομετιανὸς* ΑΜ : λείπει ΙΣΔ 25. *μετριότητός τινος* Π : *μετριότητος τινός* Σ 27. *μῖσος* ΙΔ : *μίσος* ΜΣ : *μισος* Α 29. *ἀνῄρει* Π : *ἀνῄρει τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ ἀνείρει* Α 31. *τούτοις* Π : *τούτους* Α *Καπιτωλίῳ* Δ : *καπετωλίῳ* Π. Ἴδε ἀνωτέρω σ. 77, 25 *χεῖρας* Π : *χείρας* Ι

αἵματος, τοὺς ἀναιτίους ἀνελών, καὶ τὰ τῆς ὑπηρεσίας ἥρετο. Καὶ τὰς ἐκστρατείας ἐκ μεγίστων ἐποιήσατο συμφορῶν ἐπὶ Σαρμάτας τε ἅμα καὶ Σκύθας, Δάκας τε ἅμα καὶ Κάτθους. Τάγμα τε ἓν ἀπώλεσε μετὰ τῶν στρατηγῶν, καὶ Σαβῖνος ὑπατικὸς καὶ Κορνήλιος Φοῦσκος ὕπαρχος ἔπεσον σὺν πολλῇ στρατιᾷ· ἐθριάμβευσε δὲ κατ᾽ αὐτῶν ἀναιδῶς. Καὶ τὸ Καπιτώλιον καὶ τὴν Παροδικὴν ἀγορὰν καὶ τὸ Ἴσιον καὶ τὸ Στάδιον ᾠκοδόμησέ τε καὶ κατεκόσμησε. Μίσους τε ἐπὶ πλεῖστον προϊόντος, συνομόσαντες τῶν περὶ αὐτόν τινες, ἐν ταῖς βασιλικαῖς αὐλαῖς αὐτὸν διεχρήσαντο πέμπτῳ καὶ τεσσαρακοστῷ τῆς ἡλικίας ἔτει, τῆς βασιλείας δὲ δεκάτῳ καὶ πέμπτῳ. Τὰ νενομισμένα δὲ ἀπεπλήρωσε τῶν ἐν λόγῳ μὲν οὐδείς, μόνοι δὲ οἱ ταῖς κοιναῖς ἐπιτεταγμένοι ταφαῖς ἀφανῶς αὐτὸν καὶ ὡς σῶμα ἀπερριμμένον κατώρυξαν.

## ΒΙΒΛΙΟΝ Η΄.

1. Τῆς μὲν οὖν πόλεως ἦν ὀκτακοσιοστὸν καὶ πεντηκοστὸν ἔτος· τὴν ὑπάτων δὲ εἶχον ἀρχὴν Βετέριός τε καὶ Οὐάλης. Τότε τοίνυν ἀνέθηλε τὰ τῆς Ῥώμης πράγματα, θαυμαστῶν ἐπιτυχόντα βασιλέων. Δομετιανοῦ γὰρ ἀπελθόντος ἐξ ἀνθρώπων τοῦ πονηρίᾳ πάντας ὑπερβαλλομένου, διεδέξατο τὴν ἀρχὴν ἀνὴρ ἰδιώτης, ἄριστος δὲ καὶ τῶν πολεμικῶν ἐπιστήμων Νέρβας, εἰ καὶ ἧττον περιφανῶν πατέρων, πρεσβύτης ἤδη παρελθὼν εἰς αὐτὴν σπουδῇ Πετρωνίου Σεκούνδου καὶ Παρθενίου. Τούτων ὁ μὲν ὕπαρχος ἦν, ὁ δὲ ἕτερος εἷς τῶν Δομετιανοῦ φονέων. Οὗτος, ἁπάσης ἀρετῆς οἱονεί τινας εἰκόνας διὰ τῶν ἔργων ἀναφήνας, προαναρπάσθη τοῦ τέλους. Εἰςποιησάμενος γὰρ παῖδα Τραϊανόν, ἐτελεύτησεν ἐπὶ τῆς Ῥώμης, ἐνιαυτὸν καὶ μῆνας τέσσαρας βασιλεύσας, ὀκτώ τε πρὸς ἡμέρας, ἑνὶ καὶ ἑβδομηκοστῷ τῆς ἡλικίας ἔτει, καὶ τῇ τῶν θεῶν ἐπεκλήθη προσηγορίᾳ.

3. *Κάτθους* Ι : *Κάτθας* Π  4. *Σαβῖνος* ΙΣΔ : *σαβίνος* ΑΜ  *φοῦσκος* Π : *φούσκος* Ι  6. *Καπιτώλιον* Δ : *Καπετώλιον* Π. Ἴδε ἀνωτέρω σ. 80, 31  7. *τε (τὲ)* ΑΜΙ : *δὲ* ΣΔ  8. *αὐτόν τινες* ΙΔ : *αὐτὸν τινὲς* ΑΜΣ
11. *μόνοι* Π : *μόνον* Δ  13. *κατώρυξαν* ΙΣ : *κατωρυξαν* Δ : *κατορύξαι* ΑΜ
14. Ἐν τῇ ῳϙ´ *ἀπὸ κτίσεως ῥώμης ἔτη ων* ΑΜ : λείπουσι ΙΣΔ  *πεντηκοστὸν* Π : *πεντηκοσιοστὸν* Δ  19. Ἐν τῇ ῳϙ´ *νέρβας* ΑΜ : λείπει ΙΣΔ  *ἥττων* ΑΜΙ : *ἧττον* ΣΔ  20-21. *Σεκούνδου* Π : *σεκούντου* Δ  21. *μὲν* Π : *μὲ'ν* Α
22. *οἱονεί τινας* Δ : *οἱονεὶ τινὰς* Π  23. *ἀναφήνας* ΑΜΙ : *ἀναφῆναι* ΣΔ

2. Φέρουσι τοίνυν τὴν βασιλείαν ἐπὶ τὸν πεποιημένον αὐτῷ Τραϊανόν, ἰταλικοῦ μὲν γένους, τεχθέντα δὲ ἐν Ἱσπανίαις. Πρόγονοι δὲ αὐτῷ λαμπρὰν μὲν οὐ κατῆγον τὴν διαδοχήν, τιμὰς δὲ ὧν διετύγχανον ἐξ ἀρετῆς ἐσχηκότες. Ὁ γοῦν πατὴρ αὐτῷ τῶν ὑπατικῶν ἦν. Οὗτος στρατηγὸς μὲν ἐγένετο τοῦ πρὸς Γάλλους πολέμου, στάντος Ἀγριππίνη. Βασιλεύων δὲ ὁ Τραϊανὸς οὕτω προέστη τῶν πραγμάτων, ὡς εἰκότως ἂν πάντων προτιμηθῆναι τῶν βασιλευσάντων. Δημαγωγὸς γὰρ ἦν ἄριστος κἀν ταῖς μάχαις ἀνδρειότατος. Τὴν ῥωμαϊκὴν γοῦν ἀρχήν, τῶν ἔμπροσθεν μόλις κατασχεῖν δυνηθέντων, ηὔξησεν ἐπὶ πλεῖστον, καὶ τὰ ὅρια τῆς βασιλείας ὅσον ἐπὶ μήκιστον ἐξέτεινε. Πόλεις γοῦν ὑπὲρ τὸν Ῥῆνον ἐν μέσοις ἐδείματο τοῖς Γερμανοῖς. Δάκας τε, τὸν ἡγούμενον αὐτῶν καθελὼν Δεκίβαλλον, ὑπηγάγετο, ἐπαρχίαν τε ὑπὲρ τὸν Ἴστρον κατεστήσατο, καὶ τὴν γῆν ἐκείνην ἅπασαν, ἣν νῦν Θαΐφαλοι καὶ Βικτόαλοι καὶ Τερβῖται προσοικοῦσι, συνῆψε τῇ βασιλείᾳ, χιλίοις διαμετρουμένην κύκλῳ σημείοις.

3. Τὴν Ἀρμενίαν τε ἀνεκτήσατο παρὰ Πάρθων, Ἀλμάτας τε ὑφ᾽ ἑαυτῷ κατέστησε, τὸν Φατόσιριν ἀνελών, ὃς ἐτυράννει τοῦ ἔθνους. Ἀλβανοῖς τε αὐτὸς ἔδωκε βασιλέα, Ἰβήρων τε καὶ Σαυροματῶν καὶ τῶν ἐν Βοσπόρῳ, ἔτι δὲ Ἀραβίων καὶ Ὀσδροηνῶν τοὺς βασιλεύοντας ὑποσπόνδους ἐποιήσατο, καὶ μὴν καὶ Ἀρδουήνων καὶ Μαρκομήδων, καὶ τὴν Ἀνθεμουσίαν, χωρίον Περσῶν εὐρύ τε καὶ εὔγαιον· Σελεύκειαν τε καὶ Κτησιφῶντα καὶ Βαβυλῶνα προσεκτήσατο. Μεσσηνίους τε μάχῃ νικήσας κτῆμά τε καὶ τούτους αὐτῷ ποιησάμενος, ἄχρις αὐτῶν ἐχώρησεν Ἰνδῶν καὶ τῆς Ἐρυθρᾶς καλουμένης θαλάσσης. Ὅθεν ἀρξάμενος, τρεῖς ἐπαρχίας κατῴκισεν

1. Ἐν τῇ ᾤᾳ· *τραϊανὸς* ΑΜ : λείπει ΙΣΔ 2. *Ἱσπανίαις* Δ : *Σπανίαις* Π 3. *τιμὰς* Π : *τιμᾶς* Μ 8. *κἀν* Π : *κᾶν* Δ 10. *ἐπὶ μήκιστον* ΙΣΔ : *ἐπιμήκιστον* ΑΜ 12. *Δεκίβαλλον* Π. Γραπτέον *Δεκέβαλον* 13. *Ἴστρον* ΣΔ : *ἴστρον* ΑΜΙ 14. *Θαΐφαλοι* ΑΜΙ : *Θαΐφαλοί* ΣΔ *Τερβῖται* ἔγραψα : *Τερβίαι* Π 16. *Ἀρμενίαν* ΙΑΔ : *Ἀρμενίαν* ΜΣ 17. *Φατόσιριν* Π. Γραπτέον *Παρθομάσιριν* 18-20. *Ἰβήρων—βασιλεύοντας* ἐν συνεχείᾳ τοῦ κειμένου Π : πρόσθετα τῇ δευτέρᾳ χειρὶ ἐν τῇ ᾤᾳ Μ 18-20. *Σαυροματῶν* Π : *σαυρομάτων* Μ 19. *ἔτι* Π : *ἔτει* Δ *Ὀσδροηνῶν* Π : *ὀσδροηνῶν* Α 20. *Ἀρδουήνων* Ι : *Ἀρδουηνῶν* Σ : *ἀρδουκέων* ΑΜ : *Καρδουηνῶν* Δ. Γραπτέον *Κορδυηνῶν* 21. *Μαρκομήδων* Π. Γραπτέον *Μάρδων*, *Μήδων* 23. *Μεσσηνίους* Π : *Ἐδεσσηνίους* Δ. Γραπτέον *Ἐδεσσηνοὺς* τε Π : δὲ Ι *κτῆμά τε* Δ : *κτῆμα τε* Π *αὐτῷ* Π : *αὑτῷ* Δ 24. *αὐτῶν* Π : *αὑτῶν* Ι *ἐρυθρᾶς* Π : *ἐρυθρᾶς* ἐκ τοῦ *ἐρυθρὰς* 25. *κατῴκισεν* ΣΔ : *κατῴκησεν* ΑΜ : *κατῴκησεν* Ι

ΙΩΑΝΝΙΝΑ 2006

Ἀρμενίαν τε καὶ Ἀσσυρίαν καὶ τὴν Μέσην τῶν ποταμῶν, ἧς μέρος ἦν καὶ ἡ τῶν Ναρικύων χώρα. Πρῶτος καὶ τὴν Ἀραβίαν ἐπαρχίαν ἐποίησε στόλον τε ἐγκατέστησε κατὰ τὴν Ἐρυθρὰν θάλασσαν, ὥςτε αὐτῷ καὶ διὰ θαλάττης ἐξεῖναι πολιορκεῖν Ἰνδούς.

4. Τοιαῦτα δὲ ὄντα τὰ κατὰ τοὺς πολέμους ὑπεχώρει τοῖς περὶ τὰ πολιτικὰ θαύμασιν. Οὔτε γὰρ πλέον οὔτε ἔλαττον εἶχεν ἕτερος ἑτέρου. Οὕτω δὲ ἐπεμελεῖτο τῶν πρὸς τοὺς φίλους καθηκόντων, ὥςτε συνήθως παρ᾽ αὐτοὺς φοιτᾶν ἢ νόσῳ κατακεκλιμένους ἢ καὶ προςηγορίας μόνης χάριν, ἔστι δὲ ὅτε καὶ ἑορτάζουσιν ἰδίας τινὰς πανηγύρεις ἐποίει καὶ συνειστιᾶτο, ἀμοιβαίοις τε καὶ αὐτὸς εὐωχίαις αὐτοὺς ἐγέραιρεν. Ἐχρῆτο δὲ καὶ τοῖς ὀχήμασιν ἐκείνων, τὸν βασιλικὸν ἀπολιπὼν δίφρον. Οὐδενί τε τῶν ἐν Ῥώμῃ λαμπρῶν ἐπήγαγε βλάβην, οὐδὲ ηὔξησε τοὺς θησαυροὺς ἐξ ἀδίκου προςθήκης. Φιλοδωρότατός τε ἦν δημοσίᾳ τε καὶ ἰδίᾳ καὶ περὶ τὸ διδόναι τὰς ἀρχὰς ἀφθονώτατος. Πλέον δὲ ἦν τὸ περὶ αὐτὰ ταῦτα τοῖς φίλοις. Οἰκοδομημάτων δὲ αὐτῷ πανταχοῦ τῆς οἰκουμένης πολὺς ἦν ὁ λόγος, καὶ τὰς πόλεις ἀτελείας ἠξίου. Κεφάλαιόν τε τῆς ἡμερότητός τε αὐτοῦ καὶ φιλανθρωπίας παρὰ πάντα τὸν τῆς βασιλείας χρόνον εἷς ὑπέμεινε θάνατον, τῆς συγκλήτου τὴν ψῆφον ἐπαγαγούσης, ἀγνοοῦντος τοῦ βασιλέως. Τούτων ἕνεκα κατὰ τὴν οἰκουμένην ἅπασαν ἰσόθεος ὑπείληπτο καὶ ταῖς τῶν κρειττόνων ἐτιμᾶτο τιμαῖς.

5. Καὶ γὰρ δὴ κἀκεῖνο περὶ αὐτοῦ φασιν, ὅτι δή τινων αὐτοῦ τὴν πολλὴν κοινότητα καταμεμφομένων ἀπεκρίνατο χρῆναι τὸν βασιλέα τοιοῦτον εἶναι πρὸς τοὺς ἰδιώτας, οἷον ἰδιώτης ἄν τις εὔξαιτο τὸν βασιλέα περὶ αὐτὸν εἶναι. Τοσαύτης δὴ συγκεκροτημένης αὐτῷ τῆς εὐκλείας ἔν τε πολέμοις καὶ ἡσυχίαις, ἐκ τῆς Περσικῆς ἐπανιών, πρὸς Σελευκείᾳ τῇ τῶν Ἰσαύρων, ὑπενεχθείσης ἀθρόως τῆς γαστρός,

1. *Ἀρμενίαν* ΛΔ : *Ἀρμενίαν* ΜΙΣ *Ἀσσυρίαν* ΙΣΔ : *ἀσσυρίαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἀσυρίαν* Λ : *ἀσυρίαν* Μ 6. *ἔλαττον* Π : *ἔλαττον* ἐκ τοῦ *ἐλάττον* Μ
7. *συνήθως* Π : *συνήθως* ἔχει τόνον καὶ ἐπὶ τοῦ υ διαγραφέντα Λ 8. *αὐτοὺς* Π : *αὐτοῖς* τοῦ οι γραφέντος ἐπὶ ἑτέρων γραμμάτων διαξεσθέντων Μ
10. *συνειστιᾶτο* ΙΣΔ : *συνεστιᾶτο* ΛΜ 12. *οὐδενί τε* Δ : *οὐδενὶ τὲ* Π
*ἐν* Π : λείπει Δ 13. *φιλοδωρότατός τε* Π : *φιλοδωρότατος τὲ* Ι
14. *ἦν* Π : *ἦν* ἐκ τοῦ *ὢν* τῇ δευτέρᾳ χειρὶ Λ 18. *εἷς* Π : *εἷς βουλευτὴς* Δ
22. *κἀκεῖνο* ΙΣΔ : *κἀκεῖνο* ἐκ τοῦ *κἀκείνω* τῇ δευτέρᾳ χειρὶ Λ : *κακεῖνο* Μ
*φασιν* ἔγραψα : *φασίν* Π. *δή τινων* ΙΔ : *δὴ τινῶν* ΛΜΣ
24. Ἐν τῇ ῥᾳ Cv *εὔξαιτο* Π : *εὔξαιτο* ἐκ τοῦ *εὔξετο* Μ 25. *δὴ* Ι : *δὲ* Π
26. *ἐν* Π : *ὢν* Μ 27. *πρὸς* Δ : *τῆς ἐν* Π *ὑπενεχθείσης* Π : *ὑπενεχθείσης* ἐκ τοῦ *ὑπενεχθήσης* Μ

Ηγ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διεφθάρη, τῆς μὲν ἡλικίας τρίτον καὶ εἰκοστὸν ἄγων ἔτος καὶ μῆνας ἐννέα καὶ ἡμέρας πέντε, τῆς δὲ βασιλείας ἐνιαυτοὺς ἐννεακαίδεκα καὶ μῆνας ἓξ καὶ ἡμέρας πεντεκαίδεκα. Μόνῳ τε αὐτῷ τάφος ἐγένετο κατὰ μέσην τὴν Ῥώμην ἐπὶ τῆς ἀγορᾶς, ἣν αὐτός τε ἐδείματο καὶ κατωνόμασεν ἑαυτῷ. Κίων δὲ μηνύει τὴν ταφήν, εἰς ὕψος τεσσαράκοντα καὶ τεσσάρων ποδῶν ἐγηγερμένος. Τοιαύτη δὲ τούτου τοῦ βασιλέως ἡ μνήμη καὶ μετὰ ταῦτα διέμεινεν, ὥστε, ὁπόταν ἡ σύγκλητος εἰς τὸ βουλευτήριον ἐπ᾽ εὐφημίαις τῶν βασιλευόντων συνήει, τοιαύτην τινὰ γίγνεσθαι φωνήν **Εὐτυχέστερος Αὐγούστου, τοῦ Τραϊανοῦ βελτίων**. Καὶ τὴν εἰκόνα ταύτην ποιοῦνται κόσμον οἱ κολακεύοντες ἢ κατὰ ἀλήθειαν ἐπαινοῦντες.

6. Παρὰ τούτου τὴν βασιλείαν Ἀδριανὸς ἐδέξατο, Τραϊανοῦ μὲν οὔτε βουληθέντος, οὔτε ἐντειλαμένου, τῆς δὲ ἐκείνου γαμετῆς Πλωτίνης καταπραξαμένης. Οὐδὲ γὰρ ἀνεψιδοῦν ὄντα αὐτὸν εἰσεποιήσατο Τραϊανός. Προγόνων δὲ ἦν καὶ οὗτος Ἰταλῶν, ἐν Ἱσπανίαις τεχθείς τε καὶ τραφείς. Εὐθὺς μὲν οὖν εἶχεν αὐτὸν τῆς Τραϊανοῦ δόξης φθόνος, καὶ τῶν ἐπαρχιῶν, ἃς κατεστήσατο, πάμπαν τὴν φυλάττουσαν αὐτὰς στρατιὰν ἀνακαλεσάμενος, συνέστειλε τοὺς τῆς βασιλείας ὅρους ἐντὸς Εὐφράτου ποταμοῦ. Βουλευόμενον δὲ αὐτὸν ὅμοια καὶ περὶ τῶν Δακῶν, οἱ φίλοι διεκώλυσαν· τοὺς γὰρ ἀποίκους τοὺς ἐκ τῶν πολιτῶν Ῥωμαίων ὑπὸ Τραϊανοῦ μεταστάντας οἰκήσεως ἕνεκα καὶ γεωργίας ἀνόσιον εἶναι γίγνεσθαι βαρβάρους. Τοῦ γὰρ οἰκείου πλήθους ἀπεσεσύλητο, τῷ χρονίῳ πολέμῳ κατανηλωμένου.

7. Εἰρήνης γε μὴν καὶ ἡσυχίας πολλὴν ἐποιήσατο πρόνοιαν πλὴν μιᾶς μικρᾶς τε καὶ ἀσήμου μάχης, ἣν δι᾽ ἑνὸς τῶν ἀρχόντων συνεκρότησε. Περιῆλθε δὲ τὴν βασιλευομένην ἅπασαν, καὶ τοῖς οἰκοδομήμασι πολλὴν εἰσήνεγκε σπουδήν. Γλώττῃ τε τῇ Ἰταλῶν καὶ Ἑλλήνων ἐπίσης ἐξέλαμψε. Καὶ ἡμερότητος μὲν παντελῶς ἀπέσχε, τῶν χρημάτων δὲ καὶ τῶν θησαυρῶν ἐπεμελήθη καὶ τῆς στρατιωτικῆς τάξεώς τε καὶ ἁρμονίας. Ἐτελεύτησέ τε περὶ τὴν Καμπανίαν, ὑπὲρ τὰ

3. *τάφος* Π : *τέφος* Λ   5. *κατονόμασεν* Π : *κατωνόμασεν ἐκ τοῦ κατονόμασεν* Μ   8. *συνήει* Π : *συνίη* Δ   12. *τὴν* Π : *δὲ τὴν* Δ   16. *Ἱσπανίαις* ΙΣΔ : *ἰσπανίαις* ΛΜ   *τεχθείς τε* ΣΔ : *τεχθείς τὲ* ΛΜΙ   18. *συνέστειλε* ΛΣΔ : *συνέστειλέ τε* ΙΜ   20. *ὅμοια* Π : *ὅμοια ἐκ τοῦ ὅμα τῇ δευτέρᾳ χειρὶ* Λ

23. *εἶναι ἐν συνεχείᾳ τοῦ κειμένου* Π : *εἶναι πρόσθετον ἄνωθεν τῇ δευτέρᾳ χειρὶ* Λ   31. *ἐτελεύτησέ τε* Π : *ἐτελεύτησε τὲ* Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΡΓ.Α.Π.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἑξήκοντα γεγονὼς ἔτη, ἕνα καὶ εἴκοσι βασιλεύσας ἐνιαυτοὺς καὶ μῆνας δέκα καὶ ἡμέρας ἐννέα. Πάντων δὲ ἀντιλεγόντων χρῆναι τὰς θείας αὐτῷ νομισθῆναι τιμάς, ὁ διαδεξάμενος τὴν βασιλείαν Μάρκος Ἀντωνῖνος ἐξῄτησε χάριν, καί, τὰς τῶν ἀνθισταμένων βιάσας γνώμας, ἔτυχεν.

8. Ἐβασίλευσε τοίνυν αὐτὸς οὗτος Ἀντωνῖνος Φούλβιος, ὃς καὶ Βοϊώνιος ἐπεκλήθη καὶ Πίος, ἐκ γένους τε κατιὼν λαμπροῦ τό γε εἰς τοὺς ἐγγὺς προγόνους· παλαιότητα γὰρ οὐκ εἶχε διεγνωσμένην· δικαίως τ᾽ ἂν ἐξισωθεὶς τοὔνομα Πομπιλίῳ, ὥςπερ οὖν καὶ Τραϊανὸς Ῥωμύλῳ. Οὗτος σεμνὸς μὲν ἦν καὶ ἰδιωτεύων, οὐ διέφθειρε δὲ αὐτὸν οὐδὲ ἐπὶ τῆς ἀρχῆς, τραχύτητος πάμπαν ἀπέχων, ἥμερος δὲ πρὸς ἅπαντας καὶ ἁπλοῦς, ἐπιστήμῃ δὲ τῶν πολεμικῶν κεκοσμημένος, ἄδικον δὲ οὐκ ἐπάγων πόλεμον· φυλάττειν γὰρ ἦν αὐτῷ τὰ κτηθέντα σκοπός, οὐχ ἕτερα προςτιθέναι. Καὶ τοὺς μὲν ἀγαθοὺς ἄνδρας ἦγεν ἐπὶ τὰς ἀρχὰς καὶ πάσης τιμῆς ἠξίου· τῶν πονηρῶν δὲ ἕκαστος αὐτῶν ἀφίστατο, μηδεμίαν περιβαλλόμενος συμφοράν. Τοῖς ἐνσπόνδοις δὲ τῶν κατὰ ἔθνη βασιλέων φοβερός τε ἦν ἅμα καὶ ἐπέραστος, ὥςτε πολλοὺς τῶν βαρβάρων, ἀποθεμένους τὰ ὅπλα, περὶ τῶν διαφορῶν ὑπ᾽ αὐτῷ κρίνεσθαι στέργειν τε ἅπερ ἂν γνοίη. Πλοῦτον δὲ ἔχων πρὸ τῆς βασιλείας οὐκ ὀλίγον, μετὰ τὴν βασιλείαν διένειμεν ἅπαντα τῷ στρατῷ καὶ τοῖς φίλοις, ὥςτε τὰ δημόσια χρήματα, τῆς δαπάνης οἴκοθεν γιγνομένης, πολυπλασιασθῆναι. Εὐσεβὴς δὲ ἐπικληθεὶς διὰ τὴν φιλανθρωπίαν, τελευτᾷ τὸν βίον ἐν ἀγρῷ· Λωρίον ἦν ὄνομα αὐτῷ· τῆς Ῥώμης πόρρω δυοκαίδεκα σημείοις, ἑβδομηκονταετὴς γενόμενος, βασιλεύσας δὲ τρία καὶ εἴκοσιν ἔτη, καὶ καθιερώθη καὶ οὗτος δόγματι κοινῷ.

9. Μετὰ τοῦτον ἐβασίλευσε Μάρκος Ἀντωνῖνος Οὐῆρος, ἐξ ἐπιφανῶν καὶ οὗτος πατέρων. Τὸ γὰρ δὴ γένος αὐτῷ πρὸς τὸν Νουμᾶν

7. *Βοϊώνιος* ΙΣΔ : *βοιώνιος* ΑΜ *Πίος* ΑΜΣ : *Πῖος* ΙΔ *κατιὼν* Π : *κατιὼν* ἐκ τοῦ *κατιὼν* Μ 9. *τοὔνομα* Π : *τῷ νουμᾷ* διώρθωσε κατὰ τὴν πρότασιν τοῦ Sylburg ὁ Δ *πομπιλίῳ* ΙΣΔ : *πομπηλίῳ* Α : *πομπηλίω* ἐκ τοῦ *πομπηλίο* Μ 14. *οὐχ* ΑΜΣ : *καὶ οὐχ* ΙΔ 15-16. *ἕκαστος αὐτῶν προΐστατο* Π : *αὐτῶν ἀφίστατο* διώρθωσε Δ 16. *μηδεμίαν* ΙΣΔ : *μηδὲ μίαν* ΑΜ *ἐνσπόνδοις* ΙΔ : *ἀσπόνδοις* ΑΜΣ 22. *Εὐσεβὴς* ΑΣΔ : *εὐσεβὴς* τῇ δευτέρᾳ χειρὶ ἐν χώρῳ κενῷ ἀφεθέντι ὑπὸ τῆς πρώτης χειρὸς Α : *πίος* Ι 24. *δυοκαίδεκα* ΙΣΔ : *διοκαίδεκα* ΑΜ *σημείοις* Δ : *σημείων* Π 25. *εἴκοσιν* Π : *εἴκοσι* Μ *καὶ καθιερώθη* ΙΜ : *καθιερώθη* ΑΣΔ 27. *Ἀντωνῖνος* ΜΣΔ : *ἀντωνίνος* ΑΙ

Ε. ΣΑΤΙΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Πομπίλιον ἀνεφέρετο τὸ πατρῷον, μητρὸς δὲ ἦν ἐκ βασιλικοῦ σπέρματος κατιούσης. Σολεντῖνος γὰρ ἦν βασιλεύς τις ὁ ταύτης προπάτωρ. Καὶ συνεβασίλευσεν αὐτῷ Λούκιος Ἀντωνῖνος Οὐῆρος. Καὶ τότε δὴ πρῶτον ὑπὸ δύο τὰ ῥωμαϊκὰ βασιλεῦσιν ἤγετο, τῶν πρόσθεν καθ' ἕνα βεβασιλευκότων.

10. Συνῆγαγε δὲ αὐτοὺς καὶ συγγένεια, ἄλλη τε καὶ ἡ ἀπὸ τοῦ γάμου. Ὁ γὰρ Ἄννιος Ἀντωνῖνος Οὐῆρος τοῦ Μάρκου Ἀντωνίνου κηδεστὴς ἦν ἐπὶ θυγατρί, ἐκεῖνος δὲ ἐπ' ἀνεψιᾷ κηδεύσας ἐτύγχανεν Ἀντωνίνῳ τῷ Πίῳ. Οὗτοι δὴ βασιλεύοντες ἐπήγαγον Πάρθοις πόλεμον, τότε πρῶτον ἀντιπαραταξαμένοις μετὰ τὴν Τραϊανοῦ νίκην. Καὶ στρατεύει μὲν ἐπ' αὐτοὺς Λούκιος Ἄννιος Ἀντωνῖνος. Τὰς διατριβὰς δὲ περὶ Ἀντιόχειαν καὶ τὴν Ἀρμενίαν ποιούμενος διὰ τῶν στρατηγῶν ἅπαντα κατώρθου· καὶ Σελεύκειαν, τὴν Ἀσσυρίων πόλιν ἐπιφανεστάτην, ἑλὼν μετὰ τῶν ἐγκαθημένων αὐτῇ στρατιωτῶν τετρακισμυρίων, ἐθριάμβευσεν ἐπὶ τῇ νίκῃ, κοινωνὸν ἔχων τοῦ θριάμβου τὸν κοινωνὸν τῆς βασιλείας καὶ τοῦ γένους τὸν κηδεστήν. Ἐτελεύτησε δὲ ἐν Βενετίᾳ, φερόμενος ἐπ' ὀχήματι ἅμα τῷ συμβασιλεύοντι· πορεία δὲ ἦν αὐτοῖς ἀπὸ Κονκορδίας εἰς Ἄλτινον· νόσον ὑπομείνας τε ἀποπληξίαν. Συνηριθμήθη τε τοῖς θεοῖς, ὑποληφθεὶς ἀνὴρ κοινός τε καὶ ἀγαθὸς εἶναι, καίτοι γε οὐκ ἦν, ἀλλ' ἐπέκρυπτεν αὐτὸν ἡ τοῦ βασιλέως ἀρετή.

11. Μόνος τοίνυν ἔμεινεν ἐπὶ τῆς ἀρχῆς ἅτερος Ἀντωνῖνος Μάρκος, οὗ θαῦμα μόνον ἄξιον ἔχειν, οὐκ ἐπαίνους ἀπαριθμεῖν. Ἐκ πρώτης γὰρ ἡλικίας ἥμερός τε ἐγένετο καὶ γαληνὸς ἰδεῖν, μηδὲ παιδὸς ὄντος ἡδονὴν ἢ λύπην κατακρατῆσαι, μηδ' ἐξ ἑτέρου τούτων αὐτῷ τὸ

1. *Πομπίλιον* Π : *πομπίλιον* ἐκ τοῦ *πομπήλιον* Μ 2. *Σολεντῖνος* ΙΣΔ : *σολεντῖνος* ΑΜ *βασιλεύς τίς* ΙΔ : *βασιλεύς τίς* ΑΜΣ 3. *αὐτῷ λούκιος* Π : *αὐτῷ* (α' χεὶρ) *λού* (β' χεὶρ ἐν μείναντι κενῷ) ⁝⁝⁝ *κιος* (α' χείρ. διόρθωσις τῇ β' εἰς *κιος*, ἐν δὲ τῇ ᾤᾳ ·/. *κιος* διαγεγραμμένον Α *Ἀντωνῖνος* Π : *ἄννιος ἀντωνῖνος* Ι *Οὐῆρος* Π : *οὐῆρος* Α 6. *συνήγαγε δὲ* (τὸ δὲ λείπει Μ) *αὐτοὺς καὶ συγγένεια* Π : *συνήγαγε δὲ καὶ αὐτοὺς συγγένεια* Α (α γ β) 8. *ἐκεῖνος* ΙΔ : *ἐκεῖνον* ΑΣ : *ἐκεῖνο* τοῦ ἄνωθεν ν προστεθέντος τῇ δευτέρᾳ χειρὶ Μ *ἐπ'* ΙΔ : λείπει ΑΜΣ 9. *δὴ* ΑΜ : *δὲ* ΙΣΔ 12. *περὶ* Π : *περὶ τὴν* Δ *Ἀρμενίαν* ΑΙΔ : *ἀρμενίαν* Μ : *Ἀρμενίαν* Σ 17. *ἐπ'* Π : *ἀπ'* Μ *πορεία* Π : *πορία* Δ 18. *τε* Π : *τε τὴν* Ι : *τὴν* Δ 20. *ἐπέκρυπτεν* ΑΜΣ : *ἀπέκρυπτεν* ΙΔ 21. *ἀρετὴ* Π : *ἀρετὴ* ἐκ τοῦ *ἀρετῇ* Μ 22. *ἅτερος* Α : *ἕτερος* Π Ἐν τῇ ᾤᾳ· *ἕτερος* (*ἕτερος* Μ) *μάρκος ἀντωνῖνος ὁ σοφὸς* ΑΜ : λείπουσι ΙΣΔ 22-23. *Μάρκος* Π : *ὁ Μάρκος* Δ 23. *οὗ* Δ : *οὐ* Π *ἄξιον* ΜΔ : *ἀξιῶν* ΑΙΣ 24. *μηδὲ* ΑΣΔ : *μήδε* Ι 25. *κατακρατῆσαι* Π : *κατακρατῆσαι* ἐκ τοῦ *κατακρατῆσαι* Μ *μηδ'* ΑΣΔ : *μηδ'* ΜΙ *αὐτῷ* ἔγραψα : *αὐτῶν* ΑΙΜ : *αὐτοῦ* ΣΔ

πρόσωπον ἀλλοιότερον φανῆναι. Φιλοσοφίας τε ἦν ἐραστής, ὑπὸ τοῖς Στωικοῖς πεπαιδευμένος, ὥςτε μὴ μόνον τὸ ἦθος οὕτως ἠσκῆσθαι τοῖς παραγγέλμασιν, ἀλλὰ καὶ τὴν γλῶτταν ἐν τῇ λογικῇ τῶν ἄλλων πλέον ἔχειν. Οὕτω τε ἦν εὐκλεὴς ἔτι νέος, ὡς Ἀδριανόν, σκοπούμενον ὅςτις αὐτῷ διαδέξεται τὴν βασιλείαν, ἐπειδὴ προτιμᾶν ἠναγκάζετο τὸν Πίον, παῖδα αὐτῷ πεποιημένον, συνάψαι τοῦτον ἐκείνῳ διὰ τοῦ γάμου τῆς θυγατρός, ὅπως ἂν ἐπ' αὐτὸν ἔκ τινος ἀκολουθίας ἡ βασιλεία κατενεχθῇ.

12. Διδασκάλῳ δὲ ἐχρῆτο τῆς φιλοσοφίας μὲν Ἀπολλωνίῳ τῷ Χαλκηδονίῳ, ῥητορείας δὲ ἑλληνικῆς μὲν Χερρονήσῳ, τῷ Πλουτάρχου συγγενεῖ, τῆς Ἰταλῶν δὲ Φρόντωνι, τῷ τότε ἀρίστῳ ῥητόρων. Ἐγένετο δὲ πάντων μάλιστα τῶν βασιλευσάντων τῆς ἰσότητος ἐραστής, πρὸς οὐδεμίαν ὑπεροψίαν ἀρθείς. Καὶ μεγαλόδωρος δὲ ἦν, καὶ τὰ τῶν ὑπηκόων ἐκ φιλαγαθίας διῳκεῖτο. Πολέμους δὲ τὸν μὲν κατὰ Γερμανῶν διὰ τῶν στρατηγῶν ἐνίκησε, τὸν δὲ κατὰ Μαρκομάννων αὐτὸς παρών τε καὶ αὐτουργῶν, ὃς οὕτως ἰσχυρὸς ἐγένετο καὶ μέγας, ὥςτε τοῖς Ἄφροις αὐτὸν παραβάλλεσθαι. Μετὰ γὰρ πολὺ πτῶμα τῶν ἐναντίων τὸ κατὰ τὴν μάχην ἐγένετο μεῖζον ἕτερον, ἐπελθόντος λοιμοῦ τοῦ τε ἀέρος ἐπὶ τοσοῦτον φθαρέντος, ὥςτε μετὰ τὴν νίκην ἅπασαν σχεδὸν τὴν στρατιὰν διαφθαρῆναι.

13. Καμνόντων τοίνυν αὐτῷ τῶν πραγμάτων, ὅμως προςεκαθέσθη τε καὶ τέλος ἐπέθηκε τῷ πολέμῳ, συνηττηθέντων Μαρκομάννοις Κουάδων τε καὶ Οὐανδάλων καὶ Σαρμάτων καὶ Σίλβων καὶ πάντων τῶν αὐτόθι βαρβάρων. Πανστρατιᾷ τε γὰρ αὐτοὺς ἀνεῖλε καὶ τοὺς Παίονας ἠλευθέρωσε δουλείας· ἐθριάμβευσέ τε ἐπὶ τῆς Ῥώμης μετὰ Κομόδου τοῦ παιδός, καίσαρα χειροτονήσας αὐτόν, Κόμοδόν τε Ἀντωνῖνον

3. *παραγγέλμασιν* ΙΣΔ : *παρακέλμασιν* ΑΜ 6. *Πίον* ΑΜΣ : *Πῖον* ΙΔ *πεποιημένον* Π : *πεποιημένον* ἐκ τοῦ *πεποιημένων* Μ 10. *Χαλκηδονίῳ* Δ : *χαρχηδονίω* Ι : *Χαρχηδονίω* ΑΜΣ *Χερρονήσῳ* Π : *Χαιρωνεῖ* διώρθωσε Δ 11. *τῷ* ΙΔ : *τῷ τε* ΑΜΣ 13. *οὐδεμίαν* ΙΣΔ : *οὐδὲ μίαν* ΑΜ 14. *φιλαγαθίας* ΙΜΔ : *φιλαγάθίας* Σ : *φῦλαγαθίας* Α 15. *τῶν* Π : *τὸν* ἐκ τοῦ *τῶν* τῇ δευτέρᾳ χειρὶ Α *Μαρκομάννων* Π : *μαρκομάννων* τῇ δευτέρᾳ χειρὶ διὰ παρενθήκης δευτέρου *ν* Α 16. *παρών τε* ΣΔ : *παρὼν τὲ* ΑΜΙ 23. *Σαρμάτων* Π : *Σαρματῶν* διώρθωσε Δ *Σίλβων* Π : *Σουήβων* διώρθωσε Δ 24. *πανστρατιᾷ* ΙΣΔ : *πανστρατιὰ* ΑΜ 25-26. *Κομόδου* ἐνὶ *μ* ἐνταῦθά τε καὶ κατωτέρω Π. Γραπτέον *Κομμόδου* 26. *Κόμοδον* Π : *κόμοδον* τῶν γραμμάτων *κό* γραφέντων τῇ δευτέρᾳ χειρὶ ἐν κενῷ ὑπὸ τῆς πρώτης ἀφεθέντι χώρῳ Α

προςειπών. Φασὶ δέ, τῆς δαπάνης αὐτὸν ἐπιλειπούσης, ἐπειδὴ φόρους ἐπάγειν ἑτέρους ἠρυθρία, τὴν βασιλικὴν ἐσθῆτα πᾶσαν καὶ τὰ σκεύη τὰ ἐξ ἀργύρου τε καὶ κρυστάλλου τὴν βασιλικήν τε ἅπασαν σκευὴν ὤνιον προθεῖναι καὶ τὸ συναχθὲν χρυσίον καταναλῶσαι τῷ πολέμῳ. Περιγενομένων δὲ τῶν πραγμάτων, τοῖς μὲν ἀποδοῦναι βουληθεῖσι τὰ τιμήματα ἀπαριθμῆσαι, τοὺς δὲ μὴ κατασχεῖν ἑλομένους μὴ βιάσασθαι.

14. Ἐπέτρεψέ τε κατὰ τὸ σχῆμα τὸ βασιλικὸν εὐωχεῖσθαι καὶ τοὺς ὑπηκόους οἰκέτας ὁμοίᾳ περιβάλλειν στολῇ, μηδὲν τῷ βασιλεῖ πλέον ἀπονέμοντας, ἐπεὶ οὕτως ἦν ἀφθονώτατος. Μεγαλοψυχίαν ἐπεδείξατο τοιαύτην, ὥςτε νικητηρίους ἄγων ἑορτάς, ἐν ταῖς πρὸς τὰ θηρία τῶν ἀνδρῶν μάχαις ἑκατὸν ἅμα λέοντας ὑπὸ τοῖς θεαταῖς ἀνεῖλεν. Ἐν τοσαύτῃ τῶν κοινῶν εὐδαιμονίᾳ καὶ τοῦ κρατοῦντος ἀρετῇ τέλος ἐπῆλθε τῷ βασιλεῖ, δεκάτῳ καὶ ὀγδόῳ τῆς ἀρχῆς ἔτει, τῆς δὲ ἡλικίας ἑνὶ καὶ ἑξηκοστῷ, γνώμῃ τε ἁπάντων μιᾷ συνηριθμήθη τοῖς θεοῖς,

15. παραπέμψας τῷ παιδὶ τὴν βασιλείαν, Λουκίῳ Ἀντωνίῳ Κομόδῳ, μήτε κτησαμένῳ τι τῆς πατρῴας ἀρετῆς μήτε ἐπιδειξαμένῳ πλὴν ὅτι πρὸς Γερμανοὺς καὶ οὗτος ἔσχεν εὐτυχῆ πόλεμον. Ἐπεχείρησε μέντοι τὸν μῆνα τὸν κατὰ Ῥωμαίους Νοέμβριον ἐπώνυμον ἑαυτῷ ποιῆσαι Κόμοδον, οὐ μὴν ἐδυνήθη. Τρυφαῖς δὲ καὶ ἀσελγείαις κατὰ μικρὸν διαφθειρόμενος, εἰς τοῦτο προῆλθεν ἀτοπίας, ὥςτε καὶ ἐν τῷ μονομαχικῷ σταδίῳ καὶ μετὰ ταῦτα ἐν δημοτελεῖ θέᾳ κατὰ τὸ καλούμενον Ἀμφιθέατρον διαγωνίσασθαι πρὸς [τοὺς] τοῦτο ἐπιδεικνυμένους. Θάνατος δὲ ἐξαπίναιος ἐπελθὼν αὐτῷ δόξαν ἤνεγκε τοῖς πολλοῖς, ὡς ἀγχόνῃ τις αὐτὸν ἢ φαρμάκῳ καί τισι μαγγανείαις ὑπεξαγάγοι τοῦ βίου. Δώδεκα δὲ ἐξεπλήρωσε βασιλεύων ἐνιαυτοὺς μετὰ τὸν τοῦ πατρὸς θάνατον καὶ μῆνας ὀκτώ, παρὰ πάντων ὁμοίως κοινὸς ἐχθρὸς καὶ μετὰ τὸν θάνατον ὀνομαζόμενος.

1. *αὐτόν* ΣΔ : *αὐτῶν* ΑΜΠ 3. *σκευὴν* Π : *παρασκευὴν* Ι 4. *συναχθὲν* Π : *συνεχθὲν* Σ 6. *μὴ* ΠΜ : *(μὴ)* Σ : λείπει ΑΔ 8. *ἐπέτρεψέ* Δ : *ἐπιτρέψαι* Μ *κατὰ* Π : *καὶ* ΑΜΣ : *τοῖς ἐπιφανεστέροις κατὰ* Δ 13. *τῶν* Π : *γοῦν τῶν* Δ 16. Ἐν τῷ ϙπ' *λούκιος κόμοδος* ΑΜ : λείπουσι ΠΣΔ
17. *τι* ΠΔ : *τί* ΑΜΣ *μήτε ἐπιδειξαμένῳ* ΑΜΠ : *ἐπιδειξαμένω* Σ : *μήτε λαμπρόν τι ἐπιδειξαμένῳ* κατὰ τὰ προταθέντα ὑπὸ Sylburg ὁ Δ 23. τοὺς τοῦτο ἔγραψα : τοῦτο Π : τοῦ ἐν τέλει στίχου, εἶτα δ' ἐν ἀρχῇ τοῦ ἑπομένου στίχου ἐν κενῷ ἀφεθέντι ὑπὸ τῆς πρώτης χειρὸς ἡ δευτέρα προςέθηκε το Δ : τοὺς αὐτόθι Δ 25. τις ΠΔ : τίς ΑΜ : τὶς Σ *καί τισι* Π : *καὶ τισί* Σ 27. *ὀκτὼ* Π : *ὀκτὼ* ἐκ τοῦ *ὀκτῶ* αὐτῇ τῇ πρώτῃ χειρὶ Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε. ΛΑΠΠΑΣ Κτ.Π ΙΩΑΝΝΙΝΑ 2006

16. Μετὰ τοῦτον ἐβασίλευσε Περτίναξ, ἀνὴρ εἰς γῆρας ἤδη προβεβηκὼς ἑβδομηκοστόν τε ἰὼν τῆς ἡλικίας ἔτος. Ὕπαρχος δὲ τῆς Ῥώμης ἦν, ὅτε παρῆλθεν εἰς τὴν βασιλείαν, δόγματι τῆς συγκλήτου πάσης ἀναρρηθείς. Ἀλλ' ὀγδοηκοστῇ τῆς βασιλείας ἡμέρᾳ στρατιωτῶν αὐτὸν ὑπεξήγαγε στάσις, τῶν καλουμένων Πραιτωριανῶν.

17. Ἰουλιανὸς δὲ ἦν ὁ ταύτην ἐγείρας τὴν στάσιν, ὃς καὶ τὴν βασιλείαν ἥρπασεν, ἐπιφανὴς μὲν καὶ νόμους ἐξησκημένος· Ἰουλιανοῦ γὰρ ἔκγονος ἦν, ὃς τὸ διηνεκὲς διάταγμα τοῖς Ἀδριανοῦ χρόνοις συνέταξεν, ὃ μέχρι νῦν Ἀδριάνειον καλεῖται, κατὰ τὴν τῶν Ἰταλῶν φωνὴν ἤδικτον περπέτουον· ἀλλ' εὐθὺς ἀνῃρέθη πρὸς τῇ γεφύρᾳ τῇ καλουμένῃ Μουλβίᾳ, σφαγὴν ἐν αὐταῖς δεξάμενος ταῖς βασιλείοις αὐλαῖς.

18. Καὶ δέχεται τὴν βασιλείαν Σεπτίμιος Σευῆρος, Ἄφρος ἐκ τῆς Τριπολιτικῆς καλουμένης ἐπαρχίας· πόλις δὲ ἦν αὐτῷ Λέρκις. Μόνος δὲ οὗτος ἐξ Ἀφρικῆς ἐπὶ τὴν τῶν ὅλων παρῆλθεν ἐπιτροπήν, καὶ οὔτε πρότερον ἡ μνήμη παραδέδωκεν, οὔτε μετὰ ταῦτα ἑξῆς ἐκεῖθεν βεβασιλευκότα. Ἦν δὲ πρότερον μὲν τοῦ ταμείου ῥήτωρ· τοῦ χρόνου δὲ προϊόντος, ἀρχὴν ἴθυνε στρατιωτικήν, καί, προϊεμμένων λιταῖς τιμαῖς, εἰς τοῦτο ἦλθε δυναστείας. Προσηγόρευσε δὲ ἑαυτὸν Περτίνακα, τὸν ἀνῃρημένον ὑπὸ Ἰουλιανοῦ τιμῶν. Μικρόψυχος μὲν ἀνὴρ καὶ χαλεπός, πολεμικὸς δὲ ἄλλως κἀν ταῖς μάχαις εὐτυχής. Πεσκέννιον γὰρ Νίγρον, τυραννήσαντα κατὰ τὴν Αἴγυπτον, ἐν Κυζίκῳ νικήσας ἀνεῖλεν. Ἐκράτησε δὲ καὶ Πάρθων καὶ Ἀραβίων τῶν ἐνδοτάτω καὶ τῶν καλουμένων Ἀδιαβηνῶν, ὥστε τὴν μὲν Ἀραβίαν ἐπαρχίαν καταστήσασθαι κατὰ παλαιὸν ἔθος, ἀπὸ δὲ τῶν νενικημένων ἐθνῶν προσηγορίας λαβεῖν. Ἐκλήθη τε Παρθικὸς καὶ Ἀράβιος καὶ Ἀδιαβηνικός. Πλεῖστα δὲ καὶ τῶν τῆς βασιλείας οἰκοδομημάτων ἐπανήγαγεν εἰς

1. Ἐν τῇ ᾤᾳ· *περτίναξ* ΑΜ : λείπει ΙΣΔ 5. *αὐτὸν* ΑΙ : *αὐτόν* τῶν γραμμάτων *ων* γραφέντων ἐπὶ ἄλλων διαξεσθέντων Μ : λείπει ΣΔ
9. *Ἀδριάνειον* ΙΔ : *ἀδριάνειον* ΑΜ : *Ἀδριάνιον* Σ *τὴν* Π : *δὲ τὴν* Δ
10. *ἤδικτον* ΙΣΔ : *ἴδικτον* ΑΜ *γεφύρᾳ* ΑΙΔ : *γεφύρῃ* ΜΣ 11. *Μουλβίᾳ* ΣΔ : *μουβία* ΑΜΙ *σφαγὴν* Π : *σφαγῆν* Μ 13. *Σευῆρος* ΑΜΣ : *Σέβηρος* Ι : *Σεβῆρος* διώρθωσε Δ Ἐν τῇ ᾤᾳ· *σευῆρος* ΑΜ : λείπει ΙΣΔ Ἄφρος ΜΣΔ: *ἄφρος* διώρθωσεν ὁ ἐρυθρογράφος ἐκ τοῦ *ἀφρὸς* Α : *ἀφρός* Ι 14. *Τριπολιτικῆς* Π : *Τριπολικῆς* Δ *ἐπαρχίας* Π : *ὑπαρχίας* Μ *Λέρκις* Π : *Λέπτις* διώρθωσε Δ 16. *μετὰ ταῦτα* Π : *μεταταῦτα* Μ 17. *ταμείου* ΙΔ : *ταμίου* ΑΜΣ
19. *ἦλθε* ΙΣΔ : *ἦλθεν* ΑΜ 21. *κἀν* Π : *κἂν* Δ 24. *ἐπαρχίαν* Π : *ἐπαρχίαν* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *ἐπαρχία* Α 26. *τε* Σ : *τέ* ΑΜΙ : *γὰρ* Δ
*Ἀδιαβηνικὸς* ΣΔ : *ἀδιαβενικὸς* ΑΜΙ

νεότητα. Κατὰ τοῦτον τὸν χρόνον Κλώδιος Σαβῖνος ὁ κοινωνήσας Ἰουλιανῷ τῆς Περτίνακος σφαγῆς ἑαυτὸν ἐν Γάλλοις ἐχειροτόνησε καίσαρα· νικηθεὶς δὲ ἐν Λουγδούνῳ παρὰ τοῦ Σευήρου τέλος ἔσχε τοῦ βίου.

19. Σευῆρος δὲ τὴν μὲν ἐν τούτοις λαμπρός, οὐχ ἧττον δὲ ἐν τοῖς πολιτικοῖς. Φιλοσοφίας τε γὰρ ἐξήσκητο πρὸς ἄκρον καὶ τῶν ῥητόρων ἁπάντων ὑπερεῖχεν. Ὕστατόν τε πόλεμον πρὸς Βρεττανοὺς συγκροτήσας τάς τε πόλεις ἀνεκτήσατο καὶ τὰς ἀρχὰς ἐξασφαλιζόμενος χάρακα περιέβαλεν, ἐπὶ δύο καὶ τριάκοντα πρὸς τοῖς ἑκατὸν σημείοις ἐκτείνας αὐτὸν πρὸς θάλασσαν. Ἐπὶ τούτοις τοῖς ἔργοις ἐτελεύτησεν ἐν Βορακίῳ πρεσβύτης, βασιλεύσας ἓξ καὶ δέκα ἐνιαυτοὺς καὶ μῆνας τρεῖς, καὶ τοῖς θεοῖς συνηριθμήθη, δύο παῖδας διαδόχους τῆς βασιλείας καταλιπών, Βασιανὸν καὶ Γέταν, προστάξας Βασιανὸν Ἀντωνῖνον μετακληθῆναι. Καὶ ὁ μὲν προσηγορεύθη Μάρκος Αὐρήλιος Ἀντωνῖνος Βασιανός, ἐπετρόπευσέ τε μετὰ τὸν πατέρα τῶν πραγμάτων. Γέτας δέ, ἐχθρὸς εἶναι κοινὸς κριθεὶς ὑπὲρ ὧν ἔπραττεν, ἀνῃρέθη.

20. Ἀντωνῖνος τοίνυν, προσλαβὼν καὶ τὴν τοῦ Καρακάλλου προσωνυμίαν, τῷ πατρὶ πρὸς ἅπαντα κατηκολούθησε τὸ πρῶτον· προϊὼν δὲ ἐχώρησέ τε εἰς ὠμότητα καὶ τὴν ἐν ταῖς ἀπειλαῖς ὑπερβολήν. Τῇ Ῥώμῃ δὲ κατεσκεύασε λουτρόν, ὅπερ εἰς τόδε Ἀντωνιανὸν καλεῖται. Ἄλλο δὲ ἄξιον μνήμης οὔτε εἶπεν, οὔτε ἔπραξεν οὐδέν· ἀλλ᾽ ἡδοναῖς τε ἐδούλευσεν, ὥστε καὶ τὴν ἑαυτοῦ μητρυιὰν ποιήσασθαι γαμετήν. Ἐν Ἐδέσσῃ δὲ τῆς Ὀσδροηνῆς, στρατεύων ἐπὶ Πέρσας, ἀπῆλθε τοῦ βίου, βασιλεύσας μὲν ἓξ ἔτη καὶ μῆνας δύο, προελθὼν δὲ τῇ ἡλικίᾳ εἰς τρίτον καὶ τεσσαρακοστὸν ἔτος· ἐγένοντό τε αὐτῷ τὰ νενομισμένα παρὰ τοῦ στρατοῦ.

1. *τὸν* Π : *δὲ τὸν* Δ  *Σαβῖνος* ΜΙΣ : *σαβίνος* Δ : *Ἀλβῖνος* διώρθωσε Δ  3. *καίσαρα* Π : *καίσαρ* Μ  *Σευήρου* Π : *Σεβήρου* διώρθωσε Δ  5. *Σευῆρος* Π : *Σεβῆρος* διώρθωσε Δ  *ἐν τοῖς* Π : *κἀν τοῖς* Δ  6. *ἄκρον* Π : *ἄκαιρον* Μ  *ῥητόρων* Π : *ῥητώρων* Μ  7. *Βρεττανοὺς* Π : *Βρετανοὺς* Σ  8. *ἀρχὰς* Π : *ἐπαρχίας* διώρθωσε Δ  9. *περιέβαλεν* ΙΣΔ : *περιέβαλλεν* ΑΜ  11. *Βορακίῳ* Ι : *Κορακίῳ* ΑΜΣ : *Ἐβορακῷ* Δ  *ἓξ καὶ δέκα* ΙΣΔ : *ἑξκαίδεκα* ΑΜ  15. *Βασιανὸς* Π : *βασσιανὸς* Ι  18. *προσλαβὼν* ΙΣΔ : *πρόσλαβὼν* ΑΜ  *Ἐν τῇ ᾤᾳ ἀντωνῖνος καράκαλος* Α : *αντωνῖνος φάκαλος* Μ : *λείπουσιν* ΙΣΔ  *Καρακάλλου* ΙΔ : *Καρακάλου* ΑΜΣ  20. *ἀπειλαῖς* Π : *ἀπειλαῖς ἐκ τοῦ ἀπιλαῖς* Μ  22. *ἄλλο* Π : *ἄλλον* Μ  24. *Ὀσδροηνῆς* ΣΔ : *ὀσδροήνης* Ι : *ὀσδροκίνης* ΑΜ  26. *ἐγένοντό τε* Δ : *ἐγένοντο τὲ* Π

21. Καὶ βασιλεύει μετ' αὐτὸν Ὀφίλιος Μακρῖνος, ἐξ ὑπάρχου πρὸς τὴν βασιλείαν κληθείς· καὶ μετέσχεν ἁλουργίδος ὁ παῖς αὐτοῦ Διαδουμῖνος. Ἔπραξε δὲ οὐδὲ οὗτος μνήμης ἄξιον οὐδέν, τῆς ἀρχῆς εἰς ἐνιαυτὸν καὶ μῆνας δύο προελθούσης. Ἀνεῖλε δὲ ἀμφοτέρους στρατιωτικὴ στάσις.

22. Δέχεται δὲ τὴν βασιλείαν Μάρκος Αὐρήλιος, ὃς Ἀντωνίνου Καρακάλλου παῖς ὢν ὑπείληπτο· ἦν δὲ ἱερεὺς τοῦ ναοῦ τοῦ Ἡλιογαβάλου. Οὗτος ἐπὶ χρηστῇ τοῦ δήμου προςδοκίᾳ τὴν Ῥώμην καταλαβὼν ἐναντίος ὤφθη τῆς ἐλπίδος. Αἰσχρὸν γὰρ καὶ ἐπονείδιστον μετελθὼν βίον, μετὰ δύο ἔτη τῆς βασιλείας καὶ μῆνας ὀκτὼ ἀνῃρέθη, καὶ ἡ μήτηρ αὐτῷ συναπώλετο Συμία Σευήρα.

23. Ἐντεῦθεν ἦλθεν ἐπὶ τὴν βασιλείαν Ἀλέξανδρος, καῖσαρ μὲν ὑπὸ τῆς στρατιᾶς ἀναρρηθείς, αὔγουστος δὲ ὑπὸ τῆς συγκλήτου, κομιδῇ νέος. Οὗτος εὐθὺς ἐπὶ Πέρσας ἐστράτευσε καὶ τὸν βασιλέα Ἄρσην μετὰ πολλῆς ἐνίκησε τῆς εὐκλείας. Φοβερός τε ἐγένετο τῷ στρατῷ, ὥςτε ἀτάραχον αὐτὸν ἐν πολλῷ διαμεῖναι χρόνῳ. Ἐπειδὴ γοῦν τινα τῶν ταγμάτων ἐπήρθη πρὸς στάσεις, ἐκόλασέ τε, καὶ τοὺς ἐν αὐτοῖς ἄνδρας ἅπαντας ἀπεστράτευσε. Τούτῳ συνήδρευσεν ὁ νομοθέτης Οὐλπιανὸς, αὐτὸς καὶ τὴν φροντίδα τοῦ τοῖς δεομένοις ἀντιγράφειν ἔχων. Πολλῆς δὲ οὔσης αὐτῷ τῷ Ἀλεξάνδρῳ καὶ κατὰ τὴν Ῥώμην καὶ πανταχοῦ τῆς δόξης, ἐτελεύτησε παρὰ Γάλλοις, τάραχον ὑπομείνας στρατιωτικόν, τριςκαιδεκάτῳ τῆς βασιλείας ἔτει, πολλὴν εὐσέβειαν ἐπιδειξάμενος περὶ τὴν ἑαυτοῦ μητέρα καὶ μηδὲ ἑνὶ κατὰ τοῦτο καταλιπὼν ὑπερβολήν.

1. Ἐν τῇ φχ' *μακρῖνος* ΑΜ : λείπει ΙΣΔ  *Ὀφίλιος* ΑΜΙ : *Ὀφίλιος* Σ : *Ὀπίλιος* διώρθωσε Δ  *ὑπάρχου* Π : *Ὑπάρχου* Δ  2. *αὐτοῦ* Π : *αὐτῷ* Ι
6. Ἐν τῇ φχ' *μάρκος αὐρήλιος* ΑΜ : λείπουσιν ΙΣΔ  ὃς ΣΔ : ὡς Ι : λείπει ΑΜ  7. *Καρακάλλου* ΑΜΣ : *Καρακάλου* ΣΔ  ὢν Σ : ὢν ὡς ΑΜ : εἶναι Δ  8. *ἐπὶ* Π : *οὖν ἐπὶ* Δ  9. *ἐναντίος* Π : *ἐναντίος* ἐκ τοῦ *ἐναντίως* Μ
11. *Συμία* Π : Γραπτέον *Σοαιμία*  *Σευήρα* Π : *Σεβήρα* διώρθωσε Δ
12. Ἐν τῇ φχ' *ἀλέξανδρος* ΑΜ : λείπει ΙΣΔ  13. *τῆς στρατιᾶς* ΜΣΔ : *τῆς στρατιᾶς* τῇ δευτέρᾳ χειρὶ ἐκ τοῦ *τὴν στρατειάν* Α : *τὴν στρατιάν* Ι
14. *οὗτος* Π : *οὗτος δὲ* Δ  15. *Ἄρσην* Π : Γραπτέον *Ξέρξην*  *ἐνίκησε* Π : *ἐνίσε* Δ  17. *τινα* ΑΔ : *τινὰ* ΜΙΣ  *ἐπήρθη* ΑΜΙ *ἐπῄρθη* ΣΔ
18. *τούτῳ* ΑΜΙ *τούτῳ δὲ* ΣΔ  19. *Οὐλπιανὸς* ΙΣ : *οὐλπιανὸς* ΑΜΑ  22. *τριςκαιδεκάτῳ* ΙΔ : *δεκάτῳ* ΑΜΣ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006